Αὔραις θείου Πνεύματος, οἷά τις νοητὴ ναῦς, κυβερνωμένη θεόφρον, ἀκινδύνως τὸ τοῦ βίου πολυτάραχον διέπλευσας πέλαγος· πόνοις τε καὶ ἱδρῶσι τοῖς ἀσκητικοῖς, καὶ ἱστίῳ πτερουμένη θεωριῶν θείων ᾠδίμε· διὸ πρὸς λιμένα καταντήσασα πανολβία τῆς τοῦ Χριστοῦ βασιλείας, ὑπὲρ ἡμῶν αὐτὸν ἱλέωσαι.

Δόξα, ἦχος πλ. α'.

Μῆτερ ὁσία, ἐκρότησε στῖφος Ἀγγέλων ἐν σοί, φάλαγξ δὲ ἀνῴμωξε τοῦ σατᾶν· φύσιν γὰρ ὑπερέβησαν βροτείαν, οἱ σοὶ ἄθλοι ᾠδίμε, καὶ οἱ σοὶ πόνοι, σώματος τοὺς ὅρους ὑπερηκόντισαν. Διὸ ὄντως ἰσαγγέλως ἐν γῇ, σαρκὸς καί τοι μετασχοῦσα θνητότητος, βεβιωκυῖα, ὤφθης Ἀγγέλων συνόμιλος ἐν οὐρανοῖς παναοίδιμε. Ἴλεων οὖν ἡμῖν Χριστὸν ἀπέργασαι.

Καὶ νῦν, Μακαρίζομέν σε.

Εἰς τὸν Στίχον, Στιχηρὰ τῆς Ὁσίας.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Κράτος κατ' ἐχθρῶν τῶν ἀφανῶν, ἤρω πανολβία καὶ νίκην, λαμπρὰν νικήσασα, τὰς ἐκείνων φάλαγγας, καὶ ἐπηρμένην ὀφρὺν, τοῦ πτερνίσαντος ἔνδοξε, εἰς γῆν καθελοῦσα. Ὅθεν νῦν ἀπάρασα πρὸς οὐρανίους σκηνὰς, νίκης τὰ βραβεῖα κομίζῃ, τῆς ἀνεκλαλήτου καὶ θείας, δόξης καὶ τρυφῆς ἐπαπολαύουσα.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Κλίμαξ πρὸς οὐράνιον σαφῶς, ἄνοδον ὑπῆρξάν σοι πόνοι, οἱ τῆς ἀσκήσεως· τούτοις χρησαμένη γάρ, καὶ ὄγκον τὸν τῆς σαρκὸς, ὦ Ματρῶνα λεπτύνασα, ψυχῆς τε τὰ πτίλα, βάρους ἐκτεινάξασα, τοῦ τῶν παθῶν εὐχερῆ, εὗρες κομιδῇ τὴν ἐκεῖσε, πτῆσιν καὶ Ἀγγέλοις ἐγένου, μετὰ τὴν ἐντεῦθεν ἄρσιν σύσκηνος.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Κλέος ἀναφαίρετον ἡ σὴ, κέκτηταί σε πόλις Ματρῶνα, καὶ ὅλβον ἄσυλον, τῶν σῶν ἀπολαύουσα, καλῶν ἑκάστοτε, καὶ καρποὺς τῶν ἰάσεων ἀεὶ δρεπομένη, ἐκ τῆς ὑπερτίμου σου, σοροῦ καὶ λάρνακος· ἥνπερ σαῖς πρεσβείαις παντοίας, ῥῦσαι ὀρωμένων ἐχθρῶν τε, καὶ τῶν ἀοράτων ἐπιθέσεως.

Δόξα, ἦχος πλ. δ'.

Τὸ κατ' εἰκόνα Μῆτερ, καθαρὸν τηροῦσα Θεοῦ, καὶ ὁμοίωσιν, ἔμψυχος ὤφθης στήλη ζωῆς τῆς ἐνθέου, καὶ θεῖον ἐκφράγισμα. Διὸ μιμητὰς τοῦ σοῦ βίου δεῖξον καὶ ἡμᾶς, τοὺς ἐκ πόθου σου μέλποντας, τοὺς ἄθλους, τὰ σκάμματα, καὶ τὴν πρὸς τοὺς δαίμονας ἀνένδοτον πάλην· καθ' ὧν παράσχου καὶ ἡμῖν, σαῖς πρεσβείαις, τὴν νίκην ᾠδίμε.

Καὶ νῦν, Δέσποινα πρόσδεξαι.

Ἀπολυτίκιον τῆς Ὁσίας· ἦχος πλ. δ'. Ἐν σοὶ Μῆτερ ἀκριβῶς. Εἶτα τὸ Θεοτόκε Παρθένε· ἡ εὐλόγησις τῶν ἄρτων, καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν α'. στιχολογίαν,

Κάθισμα ἦχος πλ. δ'.

Τὴν σοφίαν καὶ λόγον

Τὴν ῥοώδη ἀπείπω Μῆτερ σκηνὴν, τῆς ἀσκήσεως ἥρω χρηστὸν ζυγὸν, Ματρῶνα ᾠδίμε, καὶ ὀπίσω εἰσέδραμες, τοῦ Νυμφίου τοῦ κάλλει, ὡραίου καὶ ἔκραζες, ἀποθάνω ὡς ἴδω τὴν σὴν ὡραιότητα· ὅθεν σὺν Ἀγγέλοις, ἐντρυφᾷν ἠξιώθης, τῆς αἴγλης καὶ λαμπρότητος, τῆς Τριάδος Θεόληπτε· διὸ πίστει βοῶμέν σοι, πρόσδεξαι ὕμνους ἡμῶν ὦ σεμνὴ, τῶν πταισμάτων ἄφεσιν ἀμείβουσα, ταῖς πρὸς Θεόν σου πρεσβείαις δεόμεθα.

Δόξα καὶ νῦν, Θεοτοκίον.

Παναγία Παρθένε, Μῆτερ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπά, ἴασαι δέομαι, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμα, μολύνας ὁ ἄθλιος· οἴμοι, τί ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; τότε Δέσποινα, βοήθειά μοι γενοῦ, καὶ προστάτις θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Μετὰ τὴν δ'. Στιχολογίαν. Κάθισμα.

Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τὰ φρικτά σου σκάμματα, Μῆτερ Ματρῶνα, εὐφημεῖν οὐ δύναται, φύσις βροτεία πρεπῳδῶς· πῶς οὖν ἡμεῖς εὐπορήσαιμεν, ὕμνοις ἀξίοις, τὸ χρέος ἀφοσιώσασθαι;

Δόξα. Ὅμοιον.

Ὅσηκὸς ὁ πάνσεπτος, σοῦ θείου σκήνους, ἐκπηγάζει θαύματα, καὶ τὰ πανίερα ὀστᾶ, τοῖς εὐλαβῶς ἐξαιτοῦσί σου, τὴν Θείαν χάριν, Ματρῶνα ἣν εἴλῃφας.

Καὶ νῦν. Θεοτοκίον.

Χρυσωθεῖσα Πνεύματι, κιβωτὸς ὤφθης, ἡ τὸν κόσμον σώζουσα, τῆς καταιγίδος τῆς πικρᾶς, καὶ εἰς λιμένα ἀπάγουσα, τῆς σωτηρίας, τοὺς θέλοντας σώζεσθαι.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἐξιστᾷ τὰ σὰ σεμνὴ, πᾶσαν βροτείαν ἀκοὴν, καὶ διάνοιαν καὶ νοῦν, ἐκπλήττει μέγεθος τῶν σῶν, ἀγωνισμάτων Ματρῶνα καὶ παλαισμάτων· ἐκ πρώτης ἡλικίας γὰρ, ἀκολουθοῦσα Χριστῷ, προθέσει ὁλικῇ, ἀσκητικαῖς ἀγωγαῖς, τὰς τῆς σαρκὸς ἐνέκρωσας ἀπάσας, ἐπαναστάσεις πανθαύμαστε· καὶ διαβόλου, τὴν ἐπηρμένην, ὀφρὺν καθεῖλες καὶ ἴσχυνας.

Δόξα καὶ νῦν, Θεοτοκίον.

Τὸ μυστήριον τῆς σῆς, κυοφορίας Προφητῶν, θείῳ Πνεύματι χοροὶ, μεμυημένοι Μαριὰμ, ποικιλοτρόπως ἐτράνωσαν τοῦτο Κόρη. Λυχνίαν τε καὶ στάμνον ὀνομάσαντες, καὶ ῥάβδον καὶ χρυσοῦν θυμιατήριον, καὶ κιβωτὸν καὶ τράπεζαν, καὶ πλάκα, ὄρος θασὺ καὶ κατάσκιον, καὶ κεκλεισμένην, Παρθένε πύλην, τῷ Θεῷ τηρουμένην.

Οἱ ἀναβαθμοί. Τὸ α'. Ἀντίφωνον τοῦ δ'. ἦχου. Προκείμενον. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου. Τὸ πᾶσα πνοή. Εὐαγγέλιον. Εἶπεν ὁ Κύριος, πάντα μοι παρεδόθη.

Ὁ Ν'. Δόξα, Ταῖς τῆς σῆς Ὁσίας.

Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου.

Ἐλεῆμον ἐλέησόν με ὁ Θεὸς. Καὶ τὸ τροπάριον ἦχος β'.

Σήμερον ἡ Παρθένος, συγκαλεῖ Ματρῶνα ἅπαντας, πρὸς λαμπρὰν ἑστίασιν, τῶν αὐτῆς παλαισμάτων· αἱ Δυνάμεις τῶν οὐρανῶν ἐξέστησαν, τὸ ἐκείνης πρὸς τοὺς πόνους ἀνένδοτον. Σατᾶν ἡ ἰσχὺς τεθριάμβευται, καὶ δαιμόνων ἡ πληθὺς διωλόλυξεν· ἡμεῖς δὲ τῷ ἐνδυναμώσαντι αὐτὴν, δόξαν δῶμεν πάντες Χριστῷ, ὃς φύσεως τὸ χαῦνον, δυναμοῖ οἰκείῳ σθένει.

Οἱ κανόνες τῆς Θεοτόκου εἰς ς'. τοῦ Ἁγίου εἰς δ'. καὶ τῆς Ὁσίας εἰς δ'. οὗ ἡ ἀκροστιχίς.

Ματρῶναν ὑμνῶ τῆς Χίου τὴν προστάτιν

Νικήτας.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ματρῶναν τιμήσωμεν, τὴν ἱεράν ὦ θεόφρονες, καμάτους γεραίροντες, τοὺς ὑπὲρ φύσιν αὐτῆς, καὶ τὰ σκάμματα, καὶ τὴν πρὸς ἀοράτους, ἀνένδοτον ἔνστασιν, ἐχθροὺς ἀλάστορας.

Ἀβέβαιον ἄστατον, ἅπαν εἰδυῖα πανθαύμαστε, τερπνὸν τὸ ὁρώμενον, μόνα ἐπόθησας, τὰ ἀόρατα Ματρῶνα καὶ ἐμφρόνως, τὰ ἄνω Βασίλεια, κτήσασθαι ἔσπευσας.

Τηρῆσαι ποθήσασα, τὸ κατ' εἰκόνα ἀλώβητον, καὶ τὸ καθ' ὁμοίωσιν Θεοῦ θεόσοφε, πάσης ἔσπευσας, ἐξ ἁπαλῶν ὀνύχων, κακίας ὑπέρτερον δεῖξαι τὸ φρόνημα.

Ῥαστώνην μισήσασα, πᾶσαν τοῦ βίου καὶ εὐκλειαν, συντόνως ἐβάδισας τῆς ἀρετῆς τὴν ὁδὸν, καὶ ἀνέδραμες, πρὸς ὃν θερμῶς ἐπόθεις· ὃν ἵλεων ἔργασαι, τοῖς εὐφημοῦσί σε.

Ὡς κρίνον σε εὔοσμον, ὡς ῥόδον εὔχρουν ὑπέρτιμε, Θεὸς μέσον εὗρηκε τῶν ἀκανθῶν καὶ αὐτοῦ, κατηγλάϊσε, ταῖς χάρισι Ματρῶνα, καὶ Χίοις σε ἔδειξε, δόξαν καὶ καύχημα.

Θεοτοκίον.

Ναὸς καὶ παλάτιον, εὐρυχωρότατον πέφηνας, Θεοῦ παναμώμητε, μόνη χωρήσασα, καθαρότητος, Ἁγνὴ περιουσία, χωρεῖν ὃν οὐ δύναται, εὖρος οὐράνιον.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ἀσμάτων καὶ κρότων πανολβία, τὰ σὰ ὄντως ἄξια τελεῖ. Θεὸν γὰρ τοῖς σοῖς μέλεσι, τοῖς ἱεροῖς ἐδόξασας· καὶ τούτῳ θῦμα γέγονας, καὶ ἱερὸν καλλιέρημα.

Νυκτὸς ἀποστέρξασα τὰ ἔργα, ἡμέρας ἐγένου καὶ φωτὸς, τέκνον Ματρῶνα γνήσιον, τοῦ βίου εὐσχημόνως ὁδὸν, ὡς ἐν ἡμέρᾳ τέμνουσα, καὶ φῶς πρὸς ἄδυτον σπεύδουσα.

Ὑδατος στενώσασα καὶ ἄρτου, ἐνδεία Ματρῶνα κομιδῇ, γαστέρα πᾶσαν ἔφεσιν, τὴν ταύτης ἐχαλίνωσας. Διὸ εὐρυχωρότατον, ἐν οὐρανοῖς πλάτος ἔφθασας.

Μεγάλως ἀσκήσασα καὶ πόνοις, μεγάλοις τιμήσασα Χριστὸν, μεγάλα ὄντως εὑρηκας, ἐν οὐρανοῖς τὰ ἔπαθλα, καὶ τὰ βραβεῖα ἔνδοξε, τῶν ὑπὲρ φύσιν καμάτων σου.

Θεοτοκίον.

Νεκρὸς χρηματίζων οὐ γινώσκω, κακίας τῷ κάρῳ συσχεθείς, καὶ μέθῃ ἀπογνώσεως, βεβαπτισμένος Δέσποινα· ἀλλ' ἡ νεκροὺς ζωώσαντα, τεκοῦσα αὖτη μὲ ζώωσον.

Κάθισμα τῆς Ὁσίας.

Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον.

Ἀγλαΐαις ἐκλάμψασα ἀρετῶν, κατηγλάϊσας κόσμον ταῖς ἀστραπαῖς, τῶν θείων θαυμάτων σου, ὦ Ματρῶνα θεόπνευστε, καὶ ῥαθύμων ἐγείρεις, ψυχὰς εἰς ἐγρήγορσιν, ἐντολῶν τοῦ Κυρίου, καὶ ζῆλον τὸν ἔνθεον· μέγα παρασχοῦσα, πρὸς ἐκμίμησιν ὄντως, ὑπόδειγμα πάνσοφε, σεαυτὴν οἷς ὑπέρτερον, τῆς τοῦ θήλεως φύσεως, τὸ φρόνημα ἀνέδειξας σεμνὴ, καὶ ἀνδρικὰ διήνυσας πανεύφημε, ἐν σαρκὸς ἀσθενείᾳ, ἐπὶ γῆς ἀγωνίσματα.

Δόξα καὶ νῦν, Θεοτοκίον.

Τὸ πολύφωτον ὄχημα τοῦ Θεοῦ, τοῦ νοός μου τὰ νέφη τὰ σκοτεινὰ, Δέσποινα διάλυσον, τῷ φωτὶ τοῦ προσώπου σου, καὶ μετανοίας φέγγει, τὰ ὄμματα φώτισον, τῆς ζοφερᾶς ψυχῆς μου, παθῶν ἀμαυρότητι, τὰ πεπωρωμένα, καὶ τυφλώττοντα πάντῃ, τῶν φαύλων μου πράξεων, θεραπεῖς ἐπιχύσεσιν, ἵνα πίστει κραυγάζω σοι, Θεοτόκε Ἀειπάρθενε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν κακῶν μου δοῦναί μοι τὴν ἄφεσιν· σὲ γὰρ ἔχω ὁ δοῦλός σου, ὀξυτάτην βοήθειαν.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ὦ τῆς ὑπερφυεστάτης, καὶ γενναίας ἐνστάσεως! ἐν θηλείᾳ φύσει, ἣν ἀῤῥενωπῷ τῷ φρονήματι, πρὸς τὰς ἀρχὰς ἐπεδείξω, παναοίδιμε, ἐξουσίας τε καὶ τοὺς δεινοὺς κοσμοκράτορας.

Τέμνεις ξένην ὁδὸν βίου, καὶ σαφῶς ὑπερκόσμιον, μέσον κόσμου Μῆτερ, τῆς ἐπιμιξίας μηδ' ὅλως γε, τῆς τῶν πολλῶν δυνηθείσης, ἐκχαυνῶσαί σου, τὸ ἀνένδοτον, καὶ πρὸς τὰ κρείττονα εὔτονον.

Ἡκρατίστη πρὸς τὸ θεῖον, καὶ ἀνένδοτος νεῦσίς σου, ὅλην Θεοφόρε, σὲ θεοειδῆ ἀπειργάσατο, καὶ τηλαυγῆ τοῖς ὁρῶσι τὰ γνωρίσματα, τὰ τῆς χάριτος, τῆς θείας ὄντως παρέχουσαν.

Σαρκὸς κτείνασα τὰ πάθη, τὴν ψυχὴν δὲ ζωώσασα, εὐχῇ τὸν θανόντα, σῇ ζωοποιεῖς καὶ προστάγματι. Καὶ τοῦτο ἄρα τὸ θαῦμα, ἐναπέδειξεν, ἣν πεπλούτηκας, παρὰ Θεοῦ χάριν ἔνδοξε.

Θεοτοκίον.

Ἁλινὰ τοῦ θείου νόμου, πάντα ῥήξας ὁ δείλαιος, ἀκρατῶς ἐλαύνω, πρὸς κακίας οἴμοι τὰ βάραθρα, οἷα δυνήσιος ἵππος· ἀλλὰ σὺ σεμνὴ, τῷ τοῦ σοῦ Υἱοῦ, χρηστῷ ζυγῷ με ὑπόταξον.

Ὠδὴ ε΄. Νῦν ἀναστήσομαι.

Ἰδοὺ προσῴζεσαν οἱ τῆς ἐμῆς, μώλωπες ψυχῆς, καὶ κατεσάπησαν ὦ παναοίδιμε, οὓς ὑπέστην ἐκ πολλῆς τῆς ἀφροσύνης. Ἀλλὰ σὺ ταῖς ἱεραῖς σου σεμνὴ, προσευχαῖς με ἴασαι.

Οὐδὲν ὁ πόλεμος ὁ τοῦ ἐχθροῦ, πρὸς τὸ ἐμβριθές, τοῦ σοῦ φρονήματος· οὐδὲν ἡ ἔνστασις· οὐδὲν πᾶσα, ἡ αὐτοῦ πανστρατιά τε, καὶ παράταξις· ἴστὸς, πάντα γὰρ ἀράχνης ἠλέγχθη σοι.

Ὑπερφυῶς τῆς σῆς ψυχῆς, ὁ πρὸς τὸν Θεὸν, ἔρως θεόσοφε, κρατήσας ἔπεισε, πᾶσαν ἔφεσιν σαρκὸς ἐναποστέρξαι, καὶ τὸ πῦρ τῶν πειρασμῶν, ὑπελθεῖν λίαν ἐκθυμώτατα.

Τὴν τῶν παθῶν σεμνὴ πυρκαϊὰν, ἔσβεσας τοῖς σοῖς, δάκρυσιν ὄθεν σε, δρόσος τοῦ Πνεύματος, ἐπανέψυξε· καὶ φῶς ἐν τῇ ψυχῇ σου, ἐπανῆψε νοητὸν, ἐμπιπλῶν θείας εὐφροσύνης σε.

Θεοτοκίον.

Ῥῆσις δέδεκται πέρας ἐν σοί, ἡ προφητική· ἐν παρθενίᾳ γὰρ ἁγνὴ συνέλαβες, παραδόξως οὐρανοῦ τὸν συνοχέα· καὶ ἐκύησας σαρκί, γενεὰν οὖ τίς διηγήσεται;

Ὠδὴ ς΄. Ἐβόησε προτυπῶν.

Νεφέλην σε, δροσεραν ἡ τοῦ Πνεύματος ἔδειξε, χάρις Μῆτερ, νοσημάτων ἐξαίρουσαν καύσωνας, καὶ παθῶν ὀμίχλην, πρεσβείων σου τῷ φέγγει σκεδάζουσαν.

Πεπλήρωται, καὶ ἐν σοὶ ψαλμικῶς προαγόρευσις. Βασιλεῖ γὰρ, τῷ τῶν ὅλων παρθένος ἐξόπισθεν, τῆς Ἀειπαρθένου, σὺν σεμναῖς ἀπηνέχθης νεάνισι.

Ροῦν ἔστησας, ἀνιάτων παθῶν ταῖς πρεσβείαις σου, τοῖς τῷ τάφῳ, προσιοῦσι τῷ σῷ μετὰ πίστεως· καὶ ψυχῶν Ματρῶνα, σηπεδόνα δεινῶν ἀπεξήρανας.

Θεοτοκίον.

Ὁ ἄχρονος, ὑπὸ χρόνον ἐκ σοῦ Κόρη γίνεται, καὶ ὁρᾶται, ὁ Ἀγγέλοις αὐτοῖς ἀθεώρητος φύσεως βροτείας, ὑπελθὼν φιλανθρώπως τὸ φύραμα.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Οὐδαμῶς τὸ θῆλύ σοι, ἐμποδὼν ὤφθη Ματρῶνα, πρὸς τοὺς ὑπὲρ ἄνθρωπον, ἀγῶνας ὄντως καὶ ἄθλους· ἴσχυνας διὸ τὸν μέγαν, νοῦν θεοφόρε, εὔφρανας τὸ γυναικεῖον μεγάλως γένος· τὸ ἐκείνων ταῖς σαῖς νίκαις προσαφελοῦσα τῆς ἥττης ὄνειδος.

Ὁ Οἶκος.

Τοὺς γενναίους ἀγνὴ ἀγῶνας, οὓς διήνυσας, οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς τοῦ σκότους, καὶ τὰς ἐξουσίας πυκτεύουσα, τίς ἀξίως θαυμάσειε; Καὶ γὰρ ὑπερβαίνει πάντα λόγον καὶ διάνοιαν τὰ σὰ προτερήματα· πῶς σὰρξ οὖσα καὶ αἷμα, γῆ καὶ σποδὸς, οὐ πρὸς τὴν κάτω ἔβλεψας φύσιν, οὐ τῇ τῶν ὁρωμένων ἐθέλχθης ἡδύτητι, ἀλλ' ἀπειδὲς ὅλῳ τῷ νοΐ πρὸς τὸν οὐρανὸν, καὶ μόνον τὸ ἀμήχανον ἐκεῖνο κάλλος ἐπόθησας, καὶ τοῖς σοῖς ὑπερφυέσιν ὡς ἀληθῶς σπουδάσμασιν, Ἀγγέλων εὔφρανας συστήματα· ἀνθρώπους ἐξέπληξας· δαίμονας ἴσχυνας· τὸ θῆλυ γένος τετίμηκας, τὸ ἐκείνων ταῖς σαῖς νίκαις, προσαφελοῦσα τῆς ἥττης ὄνειδος.

ΨΗΦΙΑΚΗ ΑΝΑΠΑΡΑΣΤΑΣΗ ΙΕΡΟΥ ΚΑΙ ΚΟΙΝΟΒΙΑΚΟΥ ΚΤΗΤΟΡΙΚΟΥ ΜΟΝΑΣΤΗΡΙΟΥ ΠΑΤΜΟΥ

Τῷ αὐτῷ μηνὶ κ'. Τῆς Ὁσίας Μητρὸς ἡμῶν Ματρώνης τῆς Θαυματουργοῦ (α).

Λιποῦσα κόσμον ἔμπλεων ἀκοσμίας.
Χριστῷ πρόσεισι νυμφικῶς ἡ παρθένος.
Εἰκάδι Ματρώνης δέμας γαῖα κάλυψε θανούσης.

Αὕτη ἡ Ὁσία καὶ θαυματουργὸς Μήτηρ ἡμῶν Ματρῶνα, ἦτον ἀπὸ τὴν Νῆσον Χίον, ἀπὸ τὸ χωρίον τὸ καλούμενον ἔτι καὶ τὴν σήμερον Βολισσὸν, τὸ ὁποῖον εἶναι εἰς τὸ ἐπάνω καὶ βόρειον μέρος τῆς Χίου· καὶ ὁ μὲν πατὴρ αὐτῆς ὠνομάζετο Λέων, ἡ δὲ μήτηρ Ἄννα, οἱ ὁποῖοι ἦσαν εὐσεβεῖς Χριστιανοί, καὶ μὲ ὅλα τὰ χριστιανικὰ ἤθη καὶ ἔργα κεκοσμημένοι, προσέτι καὶ εἰς τὸν πλοῦτον καὶ εἰς τὰ ἄλλα κοσμικὰ ἀγαθὰ ἦσαν ἐπισημότεροι τῶν ἄλλων τοῦ χωρίου. Εἶχον δὲ αὐτοὶ καὶ ἄλλας ἓξ θυγατέρας, καὶ μὲ τὴν Μαρίαν ἑπτά. (Μαρία γὰρ ὠνομάζετο ἡ Ἁγία, καὶ μετωνομάσθη ὕστερον Ματρῶνα). Αὕτη λοιπὸν ἡ Μαρία, ἡ ὁποία ἦτον ἡ μικροτέρα τῶν ἄλλων θυγατέρων, ὅταν ἦλθε καιρὸς νὰ τὴν ὑπανδρεύσουν οἱ γονεῖς της, δὲν ἠθέλησεν, ἀλλὰ ἐπρόκρινεν ὡς φρονίμη, νὰ φυλάξῃ παρθενίαν καὶ καθαρότητα, διὰ νὰ γένῃ νύμφη καλὴ καὶ ἄμωμος τοῦ ἀθανάτου Νυμφίου Χριστοῦ· ἀλλ' ἐπειδὴ ἡ ἀληθὴς παρθενία καὶ ἀφθορία, δὲν εἶναι εὔκολον νὰ κατορθωθῇ μέσα εἰς τὸν κόσμον, εἰς τὴν συναναστροφὴν τῶν πολλῶν· ὁμοίως καὶ τὰ ἄλλα καλὰ, μὲ τὰ ὁποῖα φαιδρύνεται ἡ λαμπὰς τῆς παρθενίας, μέσα εἰς τὸν κόσμον ἀπαντῶσιν πολλὰ ἐμπόδια· διὰ τοῦτο, τρωθεῖσα ἡ μακαρία ἀπὸ τὰ γλυκύτατα βέλη τοῦ θείου ἔρωτος, ἀναχωρεῖ κρυφίως ἐκ τῆς συγγενείας της, ἀφίνει τὸν πατέρα καὶ τὴν μητέρα καὶ τὰς ἀδελφάς της, καὶ ἔρχεται εἰς τὰ βουνὰ τοῦ χωρίου, ὁποῦ καλεῖται Κατάβασις, καὶ ἐκεῖ ἄνοιξε τὸ στάδιον τῶν ἀσκητικῶν της ἀγώνων, καὶ τὴν κατὰ τῶν παθῶν καὶ τῶν δαιμόνων ἔστησε πάλην, νηστεύουσα, ἀγρυπνοῦσα, καὶ μόνη μόνῳ τῷ Θεῷ προσευχομένη ἡ ἁοίδιμος· πλὴν αὐτὴ μὲν ἔχαιρε καὶ ἐδόξαζε τὸν Θεὸν, λυτρωθεῖσα τῶν ταραχῶν καὶ τῶν θορύβων τοῦ κόσμου· οἱ δὲ γονεῖς της, ἀγνοοῦντες τί ἔγεινε καὶ ποῦ ἐκατήντησεν, ἐλυποῦντο μὲ ὑπερβολὴν, καὶ δὲν ἔπαυον ἀπὸ τὸ νὰ ζητοῦν νὰ τὴν εὕρουν· καὶ λοιπὸν εὑρόντες αὐτὴν, δὲν ἔκριναν εὔλογον νὰ τὴν ἀφήσουν ἐκεῖ μοναχὴν, ἀλλὰ τὴν ἐπαρακίνησαν νὰ ἔλθῃ εἰς τὸ ὀσπήτιόν τους, καὶ αὕτη ὑπήκουσεν ὡς Θεοῦ δούλη, εἰς τὸ εὐλογοφανὲς πρόσταγμα τῶν γονέων της, καὶ ἦλθεν εἰς τὸ πατρικόν της ὀσπήτιον· καὶ εἰς μὲν τὰ ἄλλα ὑπετάσσετο χριστομιμήτως, καὶ ὑπήκουεν εἰς αὐτοὺς με πολλὴν ταπείνωσιν· εἰς τὸ νὰ ὑπανδρευθῇ ὅμως, παντελῶς δὲν ὑπήκουεν· ὅθεν βλέποντες ἐκεῖνοι πῶς δὲν τοὺς ὑπήκουε, καὶ γνωρίζοντες τὸ ἀμετάθετον τῆς γνώμης της, καὶ τὸν πολὺν πόθον ὅπου εἶχε τῆς μοναδικῆς ζωῆς, τέλος πάντων τῆς ἔδωκαν ἄδειαν, νὰ ὑπάγῃ νὰ ἡσυχάσῃ, καὶ νὰ πολιτεύεται τὴν κατὰ Θεὸν πολιτείαν, ὅπου εὐχαριστεῖται καὶ ἀρέσκεται· ἀλλὰ καὶ τὴν γονικήν της κληρονομίαν ἐξεχώρισαν, καὶ τὴν ἄφησαν εἰς τὴν ἐξουσίαν της, νὰ τὴν οἰκονομήσῃ ὡς θέλει.

Ἡ δὲ κυριώνυμος Μαρία, καὶ τῆς Ἀειπαρθένου καὶ Θεοτόκου Μαρίας ἅμωμος Νύμφη, τὰ μὲν κινητὰ πάντα, τὰ ἐμοίρασε κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, εἰς χήρας καὶ ὀρφανὰ καὶ πτωχούς· τὰ δὲ ἀκίνητα, χωράφια δηλαδὴ καὶ ἄλλα παρόμοια, τὰ ἄφησεν εἰς τὰς ἀδελφάς της, νὰ τὰ καλλιεργοῦν, καὶ νὰ τὰ ἐπιμελοῦνται, ἕως ὁποῦ νὰ τὴν φωτίσῃ ὁ Θεὸς νὰ τὰ οἰκονομήσῃ κατὰ τὸ θέλημά του, πρὸς ψυχικὴν

α) Ἰστέον, ὅτι προτροπῇ καὶ παρακινήσει τοῦ μακαρίτου πρώην Κορίνθου Κυρίου Μακαρίου, διωρθώθη κατά τε λέξιν καὶ συνθήκην ἡ τῆς Ὁσίας διήγησις, παρὰ Νικηφόρου Ἱερομονάχου τοῦ Χίου.

της ὠφέλειαν. Καὶ λοιπὸν, ἀφοῦ οὕτω καλῶς διέταξε τὰ ἑαυτῆς πάντα, ἄφησε τὴν Βολισσὸν, καὶ ἦλθε πάλιν εἰς τὴν Κατάβασιν, εἰς τὸ πρῶτόν της ἡσυχαστήριον· τὴν δὲ ὀλίγην ἐκείνην τροφὴν, ὅπου ἦτον ἀναγκαία πρὸς σύστασιν τοῦ σώματός της, διὰ νὰ μὴν ἀποθάνῃ ἀπὸ τὴν παντελῆ ἀσιτίαν, ἐφρόντιζε καὶ τῆς τὴν ἔφερνε μία της ἀδελφή. Ἔμενε δὲ ἐκεῖ εἰς τὴν Κατάβασιν ἡσυχάζουσα καὶ ἀγωνιζομένη τρεῖς ὁλοκλήρους χρόνους· ἀλλὰ κατὰ μὲν τὸ σῶμα εὑρίσκετο εἰς τὴν Κατάβασιν, κατὰ δὲ τὴν ψυχὴν καὶ τὴν καρδίαν καὶ τὴν διάνοιαν, εὑρίσκετο εἰς τὴν ἀνάβασιν καὶ εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, φανταζομένη τὰ ἀνεκλάλητα ἐκεῖνα κάλλη καὶ τὰς ὡραιότητας, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτῆς διατιθεμένη, κατὰ τὸν Προφήτην. Μετὰ δὲ τοὺς τρεῖς χρόνους, θέλωντας ὁ φιλάνθρωπος Θεὸς, νὰ φανερώσῃ τὸν κρυπτόμενον θησαυρὸν, διὰ νὰ πλουτήσῃ καὶ ἄλλους μὲ τὸν οὐράνιον πλοῦτον τῶν ἀρετῶν, καὶ νὰ θέσῃ τὸν λύχνον ἐπάνω εἰς τὴν λυχνίαν, διὰ νὰ φωτίσῃ καὶ νὰ ὁδηγήσῃ καὶ ἄλλους εἰς ὁδὸν σωτηρίας, καθὼς ἔδειξαν τὰ πράγματα ὕστερον, ἐνέπνευσεν εἰς τὴν διάνοιάν της λογισμὸν ἀγαθὸν, καὶ πόθον ἔβαλεν εἰς τὴν καρδίαν της θερμὸν, νὰ καταβῇ εἰς τὴν χώραν, ὅπου ἦσαν τότε πολλὰ γυναικεῖα Μοναστήρια, διὰ νὰ εὕρῃ παραδείγματα ἀρετῶν, καὶ νὰ ὑποταχθῇ εἰς γερόντισσαν κατὰ τοὺς νόμους τῆς μοναδικῆς πολιτείας.

Ἐλθοῦσα λοιπὸν εἰς τὴν χώραν, καὶ τὰ ἐν αὐτῇ γυναικεῖα Μοναστήρια θεωρήσασα, καὶ πολλῶν ἐναρέτων καλογραιῶν τὰς ἀρετὰς μιμησαμένη, ὡς πάλαι ὁ μέγας Ἀντώνιος, εὗρεν ἕνα μικρὸν μονήδριον, καὶ τῆς ἤρεσε περισσότερον ἀπὸ τὰ ἄλλα, ἐπειδὴ ἦσαν εἰς αὐτὸ τρεῖς μόνον μονάζουσαι, μήτηρ καὶ δύο θυγατέρες, καὶ ἦτον μεγάλη ἡσυχία καὶ εἰρήνη· ὅθεν τὰς παρεκάλεσε, νὰ δεχθοῦν καὶ αὐτὴν εἰς τὴν συνοδίαν τους, καὶ αὐταὶ τὴν ἐδέχθησαν, βλέπουσαι τὴν σεμνότητα καὶ εὐταξίαν της· καὶ τὸ ταπεινόν της ἦθος, καὶ ἔμενεν ὑποτασσομένη εἰς αὐτὰς, καὶ δοκιμαζομένη εἰς τοὺς κόπους καὶ τὰς κακοπαθείας τῆς ἀσκήσεως. Δὲν ἐπέρασεν ὅμως πολὺς καιρὸς, καὶ ἐφάνησαν, ἢ μᾶλλον εἰπεῖν ἔλαμψαν αἱ ἀρεταί της, καὶ τῶν προτέρων της ἀσκητικῶν πόνων οἱ πνευματικοὶ καρποὶ ἐγνωρίσθησαν· ὅθεν τὴν ἐκούρευσαν καλογραίαν, καὶ τὸ μοναδικὸν σχῆμα τὴν ἐνέδυσαν, καὶ ἀντὶ Μαρίας μετωνομάσθη Ματρῶνα· καὶ ὅσον οἱ χρόνοι της προέβαινον, καὶ ἡ ἡλικία της ηὔξανε, τόσον καὶ αὐτὴ προέβαινε καὶ ἐπρόκοπτεν εἰς νέους ἀγῶνας καὶ ἀσκητικοὺς πόνους, καὶ ηὔξανε καὶ ἐπερίσσευεν εἰς τὰς ἀρετάς· ὅθεν καὶ ἐξεδόθη ἡ φήμη της καὶ πολλὰς ἄλλας ἐπαρακίνησε, καὶ ἐπαρακίνει καθ' ἑκάστην, καὶ ἤρχοντο εἰς τὸ Μονήδριον ἐκεῖνο καὶ ἐκοινοβίαζον. Ἀλλ' ἐπειδὴ ἡ ἐκκλησία τους ἦτον πολλὰ μικρὰ (ὡσὰν ὅπου δὲν ἦτον ἐκκλησία Μοναστηρίου, ἀλλ' ἦτον γονικὴ καὶ κτητορικὴ τῶν τριῶν ἐκείνων μοναχῶν), ἐπειδὴ λέγω ἦχαν στενοχωρίαν εἰς τὴν ἐκκλησίαν, λέγει ἐν μιᾷ τῶν ἡμερῶν ἡ Ματρῶνα πρὸς τὴν γερόντισσάν της· θέλεις κυρία μου, νὰ μεγαλύνωμεν τὸν ναὸν τοῦτον, καὶ νὰ κτίσωμεν καὶ μερικὰ κελλία; Ναὶ ἀπεκρίθη ἐκείνη, πολλὰ τὸ ἠγάπουν κυρία μου καὶ ἐγὼ νὰ γένῃ αὐτὸ ὁποῦ λέγεις, ἀλλὰ τί νὰ κάμω; γνωρίζεις καὶ ἐσὺ ὅτι ἔξοδα δὲν ἔχω. Μὴ σὲ μέλῃ, τῆς λέγει ἡ Ματρῶνα, καὶ ὁ Κύριος οἰκονομεῖ· καὶ τῆς ἐφανέρωσε, πόθεν ἐδύναντο νὰ εὕγουν τὰ ἔξοδα τῆς οἰκοδομῆς· καὶ οὕτω λαβοῦσα τὴν ἄδειαν, ἐπώλησε τὰ ἀκίνητα πράγματα ὅπου εἶχεν εἰς τὴν Βολισσὸν, καὶ πρῶτον μὲν ἔκτισεν ἕνα λουτρὸν, μετὰ γνώμης καὶ ἀδείας τῆς γερόντισσας, διὰ νὰ λούωνται οἱ πτωχοὶ καὶ ξένοι, κατὰ τὴν συνήθειαν ὁποῦ εἶχον τὸν καιρὸν ἐκεῖνον οἱ ἄνθρωποι, ἔπειτα ἀρχινᾷ τὴν οἰκοδομὴν τοῦ Ναοῦ.

Τί δὲ ὁ ἀρχέκακος καὶ μισόκαλος; ἐπιχειρεῖ ὁ πονηρότατος νὰ τὴν ῥίψῃ εἰς κἀνένα

ἄτοπον· ὅθεν ἐκεῖ ὁποῦ ἤνοιγον οἱ ἐργάται τὰ θεμέλια, νὰ καὶ φαίνεται ἔξαφνα ἕνας μεγάλος θησαυρός· ἀλλ' ἤθελεν ἀπορήση τινὰς, τί κακὸν ἐνδέχετο νὰ πάθῃ ἡ Ὁσία ἀπὸ τὴν εὕρεσιν τοῦ θησαυροῦ; ἐκεῖνος μόνος ὁ δόλιος καὶ πανοῦργος ἠξεύρει τοὺς δόλους καὶ τὰς πανουργίας του· ἴσως ἐδοκίμασε νὰ τὴν ῥίψῃ εἰς φιλαργυρίαν, ἢ εἰς ὑψηλοφροσύνην, πῶς τάχα ἔφθασεν εἰς μεγάλα μέτρα ἀρετῆς, καὶ ὁ Θεὸς διὰ τὴν ἀρετὴν αὐτῆς, τῆς ἔδωκε τὸν ἀνέλπιστον θησαυρόν· ἢ διὰ τοῦτο, ἢ διὰ ἄλλο αἴτιον, ἐκεῖνος ὁ πονηρότατος ἠξεύρει τὴν πονηρίαν του. Καὶ ὁ πανάγαθος καὶ φιλάνθρωπος Θεὸς δὲν τὸν ἐμπόδισεν, ἀλλὰ τὸν ἄφησε, διὰ νὰ καταισχυνθῇ καὶ νὰ νικηθῇ ἀπὸ τὴν ἀπάθειαν τῆς Ὁσίας, καθὼς ποτὲ ἐνικήθη καὶ ἀπὸ τὴν ἀπάθειαν καὶ ἀφιλάργυρον γνώμην τοῦ μεγάλου Ἀντωνίου, ὅταν τοῦ ἔδειξεν εἰς τὴν ἔρημον τὸν θησαυρόν· ὅτι δὲν ἐχάρη, οὐδὲ ἐσκίρτησεν ἡ Ὁσία, ἰδοῦσα παρ' ἐλπίδα τὸν θησαυρὸν, καθὼς ἤθελε κάμῃ ἄλλος ἐμπαθὴς καὶ φιλάργυρος, ἀλλὰ τί; πίπτει παρευθὺς εἰς θερμὴν δέησιν καὶ ἱκεσίαν, καὶ, Κύριε Ἰησοῦ Χριστὲ, ἔλεγε μετὰ δακρύων, εἰ μὲν τὸ χρυσίον τοῦτο εἶναι ἀπεσταλμένον ἀπὸ τὴν χάριν σου, φανέρωσέ το εἰς ἡμᾶς, εἰ δὲ εἶναι ἀπὸ πανουργίαν τοῦ δαίμονος, ἂς ἀφανισθῇ. Ταῦτα προσευξαμένης τῆς Ἁγίας, (ὢ τοῦ θαύματος!) εὐθὺς ἐφάνη τὸ λαμπρότατον χρυσίον, ἐσθεσμένα κάρβουνα· καὶ ὅλοι οἱ ἰδόντες καὶ ἀκούσαντες τὸ παράδοξον τοῦτο, ἐδόξασαν τὸν ἐν τοῖς ἁγίοις αὐτοῦ δοξαζόμενον Θεόν. Καὶ οὕτως ἡ μὲν Ὁσία ἐδοξάσθη διὰ τὴν ἀπάθειαν καὶ διὰ τὴν πρὸς τὸν Θεὸν παῤῥησίαν της, ὁ δὲ διάβολος κατησχύνθη, καὶ τὸ ἐναντίον ἀπὸ ἐκεῖνο ὅπου ἐβουλεύθη νὰ κάμῃ, ἐγένετο· ἐπειδὴ ἡ μὲν Ματρῶνα μετὰ τῶν συνασκουμένων, ἔλαβε θάῤῥος πολὺ εἰς τὴν οἰκοδομὴν τοῦ Ναοῦ, οἱ δὲ δουλεύοντες ἔγιναν προθυμότεροι εἰς τὸ ἔργον τους ἀπὸ τὴν θαυματουργίαν ταύτην.

Ἀφοῦ δὲ ἐτελείωσε τὸν Ναὸν (μὲ τὴν βοήθειαν τοῦ Ἁγίου μεγαλομάρτυρ. Ἀρτεμίου (1) εἰς τοῦ ὁποίου τὸ θεῖον ὄνομα ἐτιμᾶτο, τότε ἐτελείωσε καὶ ἡ γερόντισσά της τὴν πρόσκαιρον ταύτην ζωὴν, καὶ ἀπῆλθεν εἰς τὴν αἰώνιον· αἱ δὲ συνασκούμεναι ἀδελφαὶ παρεκάλουν θερμῶς τὴν Ματρῶναν (2) νὰ δεχθῇ τὴν προστασίαν καὶ ἡγουμενίαν τοῦ Μοναστηρίου, καὶ τέλος πάντων καὶ μὴ θέλουσαν τὴν ἐψήφισαν Ἡγουμένην, καὶ ὑπετάσσοντο εἰς αὐτήν. Ἐπειδὴ δὲ εἰς τὰ γυναικεῖα Μο-

(1) Μὲ ἐκεῖνο ὁποῦ λέγει ὁ συγγραφεὺς τοῦ βίου τῆς Ὁσίας, πῶς τελειώσασα τὸν Ναὸν, τὸν ἀφιέρωσεν εἰς τὸν Σωτῆρα Χριστὸν, δίδει ἔννοιαν πῶς τὸν ὠνόμασε Σωτῆρα, ἢ Χριστὸν, ἢ Ζωοδότην· ὅθεν καὶ πολλοὶ λέγουσιν, ὅτι αὐτὸς ὁ Ναὸς, ὃν ᾠκοδόμησεν ἡ Ἁγία, εἶναι ὁ Σωτῆρας, ὁ ἐν τῇ Τουρκοπαροικίᾳ· ὅμως συμπεραίνεται μὲ ὀρθοὺς στοχασμοὺς, πῶς δὲν εἶναι ὁ Σωτῆρας, ἀλλὰ εἶναι οὗτος ὁποῦ βλέπομεν, καὶ τιμᾶται εἰς τὸ ὄνομα τῆς Ὁσίας Ματρώνης, πρῶτον ἀπὸ ἐκεῖνο ὁποῦ λέγει ὁ ἴδιος συγγραφεὺς, ὅτι κατέθεσαν τὸ πάντιμον αὐτῆς σῶμα εἰς τὸν Ναὸν, ὃν αὐτὴ ἔκτισε. Ποῦ εὑρέθη ἡ ἁγία της κάρα; ἀναμφιβόλως εἰς τὸν ναὸν τοῦτον· ἀκόμη εἰς τὸν τόπον ἐκεῖνον προσκυνοῦμεν, καὶ μᾶς τὸν δείχνει φανερὰ τὸ κεχρυσωμένον κουβούκλιον· πρῶτον λέγω δηλοῦται ἐκ τοῦ στοχασμοῦ τούτου, δεύτερον ἐκ τοῦ ὑπομνήματος τῆς εὑρέσεως τῆς ἁγίας κάρας· χρόνου ἱκανοῦ, λέγει, διαπεράσαντος, ἠθέλησαν τὸν ναὸν αὐτῆς μεῖζω ποιῆσαι, καὶ εὗρον τὴν ἁγίαν κάραν· ὁ ναὸς αὐτὸς πρότερον ἐτιμᾶτο εἰς τὸ ὄνομα τοῦ ἁγίου Ἀρτεμίου, καθὼς καὶ ἔτι συντιμᾶται. Ναὸν ξεχωριστὸν νὰ ἔκτισαν εἰς μόνον τὸ ὄνομα τῆς Ὁσίας, οὔτε ἐξ ἱστορίας τὸ ἔχομεν, οὔτε ἐκ παραδόσεως, ἀλλὰ καὶ ἀκόλουθον εἶναι νὰ ἐγίνετο ἡ συνδρομὴ τοῦ λαοῦ, ἐν ᾧ ἠσκεῖτο ναῷ ἡ Ὁσία, καὶ ἐν ᾧ κατετέθη· καὶ πῶς ἔπειτα ὁ ναὸς τοῦ ἁγίου Ἀρτεμίου ἤθελε τιμᾶσθαι εἰς τὸ ὄνομα τῆς Ὁσίας καὶ νὰ συντρέχῃ ἐκεῖσε ὁ λαός; λοιπὸν, τοῦ ἁγίου Ἀρτεμίου τὸν ναὸν ὃν ἔκτισεν ἡ Ὁσία, καὶ ἐν ᾧ κατέθεντο τὸ ἱερόν της λείψανον, μικρὸν ὄντα, ἐμεγάλυναν ὡς ὁρᾶται τὴν σήμερον· ὅθεν δῆλον, ὅτι οὗτος εἶναι ὁ ναὸς ὃν ἔκτισεν ἡ Ὁσία, καὶ οὗτος εἶναι ὁ ἱερὸς ἐκεῖνος τόπος, ὃν ἡγίασε μὲ τοὺς ἀσκητικούς της ἱδρῶτας· ἐκεῖνο δὲ ὁποῦ λέγει, πῶς τὸν ἀφιέρωσεν εἰς τὸν Σωτῆρα Χριστὸν, ἴσως τὸ ἔῤῥιψεν ἐκεῖ ἀπειρίᾳργως, καθότι ὅλαι αἱ ἐκκλησίαι καὶ ὅλοι οἱ Ἅγιοι εἶναι τοῦ Σωτῆρος Χριστοῦ.

(2) Ὅρα ἐν τῷ ἀνεκδότῳ ἐγκωμίῳ τῆς Ὁσίας, περὶ οὗ εἴπομεν ἐν Σελίδι 136 Σημ. 1.

ναστήρια συνειθίζον νὰ λέγουν τὴν Ἡγουμένην Κυρὰν, τὴν ἔλεγον οὕτως· ὅθεν ἐπεκράτησεν ἔκτοτε, καὶ λέγεται ἀκόμη καὶ τὴν σήμερον ἁγία Κυρά· ἀγκαλὰ καὶ τὰ κύριά της ὀνόματα Μαρία καὶ Ματρῶνα, τοῦτο δηλοῦσιν, ἤγουν Κυρία, ὡς καὶ τὸ ἐπίθετον, καὶ οἰκείως καὶ καταλλήλως, καὶ ὡς ἀπὸ θείαν νεῦσιν τῆς ἐδόθησαν ὅλα· ὅτι οὐ μόνον φερωνύμως ἐκυρίευσε τὰ πάθη καὶ τὸν κόσμον, καὶ τοὺς κοσμοκράτορας, ἀλλὰ καὶ αὐτὸν τὸν θάνατον τὸν κυριεύοντα παντὸς τοῦ ἀνθρωπίνου γένους ἐκυρίευσε καὶ ἐνίκησε, καὶ ὡσὰν ἕναν ὕπνον τὸν ἀπέδειξε· καὶ ἀκούσατε, διὰ νὰ θαυμάσετε, καὶ νὰ πιστωθῆτε τὴν ἀλήθειαν.

Τὸν καιρὸν ὅπου ἐξουσίαζον οἱ Γενουβαῖζοι τὴν Χίον, ἦλθε πλῆθος πολὺ, ἀπὸ ἕνα βάρβαρον ἔθνος τῆς Λύσεως, ἄνθρωποι βάρβαροι, καὶ κατὰ τὴν γλῶσσαν, καὶ κατὰ τὸ ἦθος ἀγριώτατοι καὶ ἀπανθρωπότατοι, καὶ ἔκαμναν πολλὰς ἁρπαγὰς καὶ ζημίας εἰς τὴν Χίον· ἐλθόντες δὲ καὶ εἰς τὸ Μοναστήριον τῆς Ὁσίας, ὥρμησεν ἕνας ἀπὸ αὐτοὺς, ὁ πλέον ἀναιδέστερος καὶ ἀναισχυντότερος τῶν ἄλλων νὰ βιάσῃ μίαν Καλογραῖαν, ἀλλ' ὢ τοῦ θαύματος! «παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς»· ἔφθασεν ἡ θεία δίκη τὸν ἄδικον, καὶ ἔπεσε τὴν ὥραν ἐκείνην νεκρὸς εἰς τὴν γῆν. Ἡ Ὁσία λοιπὸν, ἤτις εἶχεν ὅλην της τὴν ἐλπίδα καὶ τὴν πεποίθησιν εἰς τὸν Θεὸν, καὶ ἐκεῖθεν ἐζήτει διὰ προσευχῆς τὴν βοήθειαν, βλέπουσα τοῦτο, ἐδόξασε τὴν ταχείαν τοῦ Θεοῦ ἀντίληψιν· ἀλλὰ καὶ εὐσπλαγχνίσθη τὸν ἄσπλαγχνον ἐκεῖνον βάρβαρον, καὶ προσευξαμένη εἰς τὸν Θεὸν, τὸν ἔχοντα ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν, τὸν ἀνέστησε, μὲ θαῦμα καὶ ἔκπληξιν τῶν ἰδόντων καὶ ἀκουσάντων τὸ γεγονός. Ἀφοῦ δὲ τὸν ἀνέστησε, καὶ ἐτρόμαξε μὲ τὰ δύω ταῦτα, μὲ τὸν θάνατον λέγω καὶ τὴν ἀνάστασιν, τοὺς φοβεροὺς ἐκείνους βαρβάρους, ἔχουσα τὸν καιρὸν ἐπιτήδειον, τοὺς ἐνουθέτησεν ὡς ἔπρεπε, καὶ τοὺς ἀπέλυσεν· οἱ δὲ ἀνεχώρησαν ἐκ τῆς Χίου ἔμφοβοι καὶ ἔντρομοι· ὅθεν, ἐλθόντες καὶ δευτέραν φοράν, δὲν ἐτόλμησαν νὰ ὑπάγουν πλέον εἰς τὸ Μοναστήριον τῆς Ἁγίας· καὶ ὄχι μόνον τοῦτο, ἀλλὰ καὶ εἰς ὅλην τὴν πόλιν ἐφάνησαν ἡμερώτεροι καὶ φιλανθρωπότεροι, καὶ τὰ πρότερα δεινὰ δὲν ἐτόλμησαν πλέον νὰ κάμουν.

Πλὴν τὸ νὰ ἀναστήσῃ διὰ προσευχῆς τὸν νεκρὸν ἡ Ὁσία, ἦτον τῆς θείας χάριτος κατόρθωμα, καὶ τῆς πρὸς Θεὸν παῤῥησίας της ἔνδειξις· τὸ δὲ νὰ ἀποθάνῃ καὶ αὐτὴ ἡ ἰδία ὡς ἄνθρωπος, εἶναι τῆς ἀνθρωπίνης φύσεως νόμος κοινὸς, καὶ χρέος ἀπαραίτητον· ὅθεν, ὅταν εὐδόκησεν ὁ ἀθάνατος αὐτῆς Νυμφίος Χριστὸς, νὰ τὴν παραλάβῃ διὰ θανάτου εἰς τοὺς ἀθανάτους καὶ οὐρανίους νυμφῶνας αὐτοῦ, καὶ νὰ τὴν ἀναπαύσῃ ἀπὸ τοὺς ἀσκητικούς αὐτῆς κόπους εἰς τὴν αἰώνιον ἐκείνην μακαριότητα τοῦ οὐρανοῦ, τότε τῆς ἀπεκάλυψε πρὸ ἑπτὰ ἡμερῶν, τὸ μακάριον τέλος της, καὶ τὴν πρὸς αὐτὸν ἐκδημίαν της· καὶ μικρὸν ἀσθενήσασα, ἐπροσκάλεσε τὰς ἀδελφὰς καὶ ὑποτακτικάς της, καὶ τὰς ἐνουθέτησεν ὡς μήτηρ, καὶ τὰς ἐσυγχώρησεν· εἶτα καὶ αὐτὴ συγχώρησιν λαβοῦσα παρ' ἐκείνων, καὶ ὅλα τὰ χριστιανικὰ τελέσασα, καὶ τὴν κοινωνίαν τῶν ἀχράντων μυστηρίων δεξαμένη, παρέδωκε τὴν ἁγίαν της ψυχὴν εἰς τὰς ἀχράντους χεῖρας τοῦ ψυχοστόστου Θεοῦ. Ἐκοιμήθη δὲ ἡ Ἁγία αὕτη ἐν ἔτει ἀπὸ Χριστοῦ αὐξῸ'. 1462 τῇ κ'. τοῦ Ὀκτωβρίου, καὶ ἐτάφη τὸ ἱερὸν αὐτῆς σῶμα εἰς τὸν Ναὸν ὁποῦ ἔκτισεν ἡ ἰδία. Ὁ δὲ τῶν θαυμασίων Θεὸς, ὃν ἐδόξασε μὲ τοὺς ἀσκητικούς της ἀγῶνας, καὶ μὲ τὰς ἀρετάς της, τὴν ἐδόξασε μετὰ θάνατον μὲ τὴν θείαν του χάριν, καὶ ἀνέδειξεν εἰς τοὺς ἀνθρώπους τὰ θεῖά της λείψανα, καὶ τὸν ἱερόν της Ναὸν, πηγὴν θαυμάτων ἀένναον, καὶ ἰατρεῖον ἄμισθον παντὸς πάθους, καὶ πάσης ἀσθενείας· ἀπὸ τὰ ὁποῖα θέλομεν διηγηθῆ μερικὰ, εἰς δόξαν Θεοῦ, τοῦ ἐνδοξαζομένου ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ εἰς ὠφέλειαν τῶν ἀναγινωσκόντων καὶ ἀκουόντων.

Εἰς τὴν Μαγνησίαν, πόλιν ἐπίσημον τῆς Ἀνατολῆς, ἦτον ἕνας Ἀγαρηνὸς πλούσιος πολλά, (3) καὶ ἀσθενήσας ἔμεινε καθ' ὅλον τὸ ἀριστερὸν μέρος τοῦ σωματός του ξηρός· τοῦ ἔκαμαν οἱ ἰατροὶ πολλὰ ἰατρικά, πλὴν νὰ τοῦ βοηθήσουν δὲν ἐδυνήθησαν, καὶ αὐτὸς πολλὰ χρήματα δαπανήσας, οὐδὲν ὄφελος ἔλαβεν. Εἶχεν ὅμως αὐτὸς μίαν δούλην χριστιανὴν, Μαρίαν ὀνομαζομένην, ἡ ὁποία βλέπουσα αὐτὸν νὰ ἐξοδεύῃ τὸν πλοῦτόν του ματαίως, καὶ νὰ μὴ λαμβάνῃ θεραπείαν, ἐν μιᾷ τῶν ἡμερῶν λέγει πρὸς αὐτόν. Ἀυθέντα μου, ἐγὼ ἠξεύρω ἕνα ἰατρὸν, εἰς τὸν ὁποῖον ἐὰν θελήσῃς νὰ ὑπάγῃς, λαμβάνει ἀναμφιβόλως παρ' αὐτοῦ τὴν ὑγείαν σου. Ἡ ἀνάγκη βιάζει τὸν αὐθέντην νὰ ἀκούσῃ μετὰ προσοχῆς μεγάλης τοὺς λόγους τῆς δούλης, καὶ ἐρωτᾷ νὰ μάθῃ τὸν ἰατρόν. Εἰς τὴν Χίον, τοῦ λέγει ἐκείνη, εἶναι μία γυναῖκα Ἁγία τῶν Χριστιανῶν, ἡ ὁποία ἰατρεύει κάθε λογῆς ἀσθένειαν, χωρὶς βότανα καὶ ἔμπλαστρα· καὶ ἂς ὑπάγωμεν ἐκεῖ νὰ σὲ ἰατρεύσῃ. Πείθεται ὁ αὐθέντης, καὶ πέρνει τὴν Μαρίαν, καὶ ἄλλους τινὰς εἰς τὴν συνοδίαν του, καὶ ἔρχεται εἰς τὴν Χίον· καὶ βασταζόμενος ὑπὸ τῶν δούλων του, ἐφέρθη εἰς τὸν Ναὸν τῆς Ἁγίας. Ζητεῖ ἐκεῖ νὰ εὕρῃ τὸν ἰατρὸν, καὶ νομίζει ἀκόμη, πῶς εἶναι κἀμμία ζωντανὴ γυναῖκα, καθὼς ἐξ ἀρχῆς ὑπέλαβε· καὶ ἡ δούλη τοῦ λέγει, ἀναπαύσου ὀλίγον καὶ ἔρχεται ἡ γυναῖκα, καὶ ἐξ ἅπαντος θέλει σὲ ἰατρεύσει. Κατὰ ἀλήθειαν, ἀδελφοί, δίκαιον εἶναι νὰ εἰποῦμεν καὶ περὶ ταύτης τῆς γυναικὸς ἐκεῖνα τὰ εὐαγγελικὰ «ὦ γῦναι, μεγάλη σου ἡ πίστις» ὅτι καὶ τῇ ἀληθείᾳ μεγάλη καὶ ἀδιάστακτος ἦτον ἡ πίστις αὐτῆς πρὸς τὸν Θεὸν, καὶ ἡ εὐλαβειά της πρὸς τὴν Ἁγίαν· δὲν ἐδίστασε καὶ δὲν ἐφοβήθη, νὰ εἰπῇ μὲ τὸν ἑαυτόν της, καλὰ, κινῶ ἐγὼ τὸν αὐθέντην μου ἄρρωστον, νὰ κάμῃ τόσον μακρὸν ταξείδιον καὶ διὰ ξηρᾶς καὶ διὰ θαλάσσης, μὰ ἀνίσως τὸν ἐδελυχθῇ ἡ Ὁσία ὡς ἄπιστον, καὶ ἀκούσω καὶ ἐγὼ ὡς ἡ Χαναναία, «οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις», ἀνίσως λέγω καὶ δὲν τὸν ἰατρεύσῃ, τί με κάμνει ὕστερον; Ναὶ, δὲν ἐδίστασεν, οὐδὲ ἐφοβήθη· μὰ οὐδὲ ἡ προσευχή δὲν ἔλειπεν ἀπὸ τὸν νοῦν της, οὐδὲ τὰ δάκρυα ἀπὸ τοὺς ὀφθαλμούς της· ὅθεν καὶ μὲ θάρρος καὶ πολλὴν πεποίθησιν τοῦ λέγει, ἀναπαύσου, καὶ θέλεις ἰατρευθῇ· ἀναπαύεται ὁ αὐθέντης της, καὶ μὲ τὴν καλὴν ἐλπίδα τῆς ὑγείας του ἡσυχάζει. Τί δὲ ἡ Ὁσία Ματρῶνα; παρευθὺς τὴν πρώτην ἐκείνην νύκτα, φαίνεται εἰς τὸν ἀσθενῆ ἐν ὁράματι, καὶ τοῦ λέγει· διὰ τὰ δάκρυα, τὰς προσευχάς, καὶ τὴν πίστιν τῆς ὁμωνύμου μου Μαρίας τῆς δούλης σου, σὲ ἰατρεύω· σύκω καὶ περιπάτει ἐν τῷ ὀνόματι τοῦ Κυρίου μου, καὶ ὕπαγε ὑγιὴς εἰς τὸν οἶκόν σου. Ὁ δὲ Ἀγαρηνὸς ἀποτινάξας τὸν ὕπνον, ἐγνώρισε τὸν ἑαυτόν του ὅλον ὑγιῆ, χωρὶς κἀνένα λείψανον τοῦ πάθους του· καὶ οὕτως, ἐκεῖνον μὲν ἠλευθέρωσεν ἡ θαυματουργὸς Ματρῶνα ἀπὸ τὸ πάθος, τὴν δὲ Μαρίαν ἠλευθέρωσεν ἀπὸ τὴν σωματικὴν δουλείαν, καὶ τὴν ψυχικήν της σωτηρίαν οἰκονόμησεν· ὅτι ὁ ἀγαρηνὸς ἐκεῖνος εἰς μὲν τὸν Ναὸν τῆς Ἁγίας ἀφιέρωσε πολλὰ πράγματα, τὴν δὲ δούλην ἠλευθέρωσε, καὶ τὰ χρειώδη πρὸς τὴν ζωοτροφίαν της ἔδωκε· καὶ αὐτὴ ὡς εὐγνώμων καὶ εὐλαβὴς, ἔμεινεν ὑπηρετοῦσα τὸν ναὸν τῆς Ὁσίας, ἕως τέλους τῆς ζωῆς της, καὶ θεαρέστως ζήσασα, ἀνεπαύθη ἐν Κυρίῳ. Τοῦτο τὸ θαῦμα κοινολογηθὲν εἰς τὴν Μαγνησίαν, ἔκαμε μεγάλον κρότον, καὶ εἰς μεγάλην εὐλάβειαν πρὸς τὴν Ἁγίαν ἐκίνησε τοὺς ἐκεῖ Χριστιανοὺς, καὶ ἔκτοτε συνηθίζουν καὶ ἔρχονται πολλοὶ ἀπὸ αὐτὴν τὴν χώραν ἐν τῇ μνήμῃ αὐτῆς, εἰς προσκύνησιν τῶν ἱερῶν λειψάνων· ἀλλὰ καὶ ἀπὸ

(3) Τὸ θαῦμα τοῦτο, ὁμοίως καὶ ὁ χρόνος καθ' ὃν ἡ Ὁσία πρὸς Κύριον ἐξεδήμησε, καὶ ὅ,τι ἄλλο δὲν εὑρίσκεται ἐν τῷ πρώτως ἐκδοθέντι ὑπομνήματι, εὑρέθησαν ὕστερον ἐν μεμβράνῃ ἐν τῇ Ἱερᾷ Μονῇ τῶν Μουνδῶν, ἤτοι τῶν Διευχῶν.

πολλὰ ἄλλα μέρη ἤρχοντο καὶ ἔρχονται, καὶ ὅλοι σχεδὸν οἱ ἄνθρωποι τῆς Νήσου συνέτρεχον, καθὼς καὶ ἔτι τὴν σήμερον συντρέχουσιν.

Ἀλλ' ἐπειδὴ ἦτον ὁ Ναὸς μικρὸς, καὶ ἦτον μεγάλη στενοχωρία εἰς τὸ πλῆθος τῶν εἰσερχομένων, διὰ τοῦτο οἱ μεταγενέστεροι πολῖται τῆς Χίου, ἠθέλησαν νὰ τὸν μεγαλύνουν. Λοιπὸν ἐπῆραν μέσα εἰς τὸ πλάτος τῆς Ἐκκλησίας καὶ τὸν τόπον ὅπου ἦτον ὁ τάφος τῆς Ὁσίας, καὶ σκάπτοντές τον, εὑρέθη κατὰ θείαν οἰκονομίαν, ἡ Ἁγία καὶ σεβάσμιά της κεφαλὴ, μέσα εἰς τὸν τάφον κεκρυμμένη, ἄῤῥητον εὐωδίαν ἐκπνέουσα, καὶ μὲ ὅλα τὰ σημεῖα τῆς θείας χάριτος δεδοξασμένη· ἐπειδὴ τὴν ὥραν ἐκείνην ἀσπασάμενος αὐτὴν ἕνας παράλυτος ἀνωρθώθη· καὶ μία γυνὴ μογγιλάλος, ὡμίλησε καθαρῶς· ἔγινε δὲ μεγάλη χαρὰ καὶ μεγάλη συνδρομὴ τῶν Χριστιανῶν εἰς προσκύνησίν της, καὶ ὄχι μόνον οἱ ἡμέτεροι, ἀλλὰ καὶ ὁ τότε ἐξουσιαστὴς τῆς Χίου Γενουβέζος τὴν εἶδε, καὶ μαρτυρίαν ἔγγραφον ἔδωκεν, ὅτι εἶναι ἀληθῶς ἡ κάρα τῆς Ὁσίας Ματρώνης· ὅθεν καὶ ἑορτὴ τελεῖται εἰς τὰς ιέ. τοῦ Ἰουλίου μηνὸς εἰς μνήμην τῆς εὑρέσεως.

Πολλὰ καὶ ἐξαίσια θαύματα ἐτέλεσεν ἡ Ἁγία εἰς διαφόρους περιστάσεις, ἀλλ' ἡμεῖς ἀφέντες τὰ ἄλλα τὰ ἐξ ἀγράφου παραδόσεως, γράφομεν, εἰς δόξαν αὐτῆς, καὶ εἰς ὠφέλειαν τῶν πιστῶν, μόνα ταῦτα ὅσα εἴδαμεν, ἢ ἀπὸ τοὺς ἀμέσως ἰδόντας ἠκούσαμεν.

Εἰς τοὺς χιλίους ἑπτακοσίους χρόνους ἀπὸ Χριστοῦ, ἦλθεν ἀπὸ τὴν Εὐρώπην ἕνας ἄνθρωπος κουτζὸς καὶ κατὰ τοὺς δύο πόδας, καὶ δὲν ἐδύνατο παντελῶς νὰ σταθῇ εἰς τοὺς πόδας του, ἀλλὰ καθήμενος ἐπάνω εἰς ὑποζύγιον, ἐπῆγεν εἰς τὸν Ναὸν τῆς Ὁσίας, καὶ ἐκεῖ πάλιν ὑποστηριζόμενος ἐπάνω εἰς δύω ῥάβδους, εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν, καὶ μετὰ πίστεως μεγάλης ἔπεσεν εἰς τὸν τάφον τῆς Ἁγίας, καὶ ἀπέρασεν ἐκεῖ ἡμέρας τινὰς, ἕως τῆς εἰκοστῆς τοῦ Ὀκτωβρίου μηνὸς, ἐν ᾗ τελεῖται ἡ θεία της μνήμη, καὶ τὴν νύκτα ἐκείνην ἀνωρθώθη παραδόξως ὁ ἄνθρωπος, καὶ ἐπεριπάτησε χωρὶς ῥάβδους, καὶ εἰς τὸ ἑξῆς ἐπεριπάτει ἀνεμπόδιστα, δοξάζων τὸν Θεὸν καὶ τὴν αὐτοῦ Ἁγίαν Ματρώναν· ὅθεν καὶ πρὸς εὐχαριστίαν αὐτῆς ἐξώδευσεν ἑκατὸν γρόσια, καὶ ἐχρύσωσε τὸ κουβούκλιον ὁποῦ εἶναι ἐπάνω εἰς τὸν ἱερὸν Τάφον τῆς Ὁσίας, καθὼς ἔτι καὶ τὴν σήμερον φαίνεται· εἶτα, ἀπελθὼν εἰς τὴν Βενετίαν καὶ ἐπιστρέψας, ἐπρόσφερε τρία μπρούτζινα μανουάλια μεγάλα, καὶ ἕνα πολυέλεον εἰς μνήμην τοῦ εἰς αὐτὸν γενομένου θαύματος.

Ἀλλὰ καὶ εἰς τοὺς ᾳψά. (1761) Ὀκτωβρίου κά. χωλοὶ παραμένοντες εἰς τὸν θεῖον αὐτῆς Ναὸν ἐπεριπάτησαν, παραλυτικοὶ ἀνωρθώθησαν, τυφλοὶ ἀνέβλεψαν, καὶ ὅλοι σχεδὸν οἱ πάσχοντες, καὶ τὴν θεραπείαν τους παρὰ τῆς Ὁσίας ζητοῦντες, ἰατρεύθησαν, τόσον ὁποῦ ἐὰν θελήσωμεν νὰ τὰ γράψωμεν ὅλα, ἴσως ἤθελαν φανοῦν ἀπίστευτα εἰς μερικούς. Λοιπὸν παρατρέχομεν τὰ ἄλλα συντομίας χάριν, καὶ μόνον τὸ ἀκόλουθον, ὡς ἀστειότερον τῶν ἄλλων, διηγούμεθα, καὶ ἐξ αὐτοῦ δύναται νὰ πληροφορηθῇ καθ' ἕνας καὶ περὶ τῶν ἄλλων. Κοντὰ εἰς τοὺς ἄλλους ἀσθενεῖς, τοὺς ἐν τῷ Ναῷ τῆς Ὁσίας παραμένοντας, ἦτον καὶ ἕνας τυφλὸς, καὶ ἕνας χωλὸς, καὶ μία γυναῖκα ἄλαλος. Ἐν τῇ νυκτὶ ἐκείνῃ βλέπει ἡ ἄλαλος γυνὴ εἰς τὸν ὕπνον της, πῶς τὴν ἐδίωκεν ὁ χωλὸς, καὶ φοβηθεῖσα, ἐφώναζε· τοῦ δὲ χωλοῦ ἐφάνη καὶ αὐτοῦ εἰς τὸν ὕπνον του, πῶς ἤκουε τὰς φωνὰς τῆς ἀλάλου γυναικὸς, καὶ ἐξεπλάγη καὶ ἐτρόμαξεν ὁ ἄνθρωπος, καὶ ἔτρεχεν ἀνεμποδίστως· εἰς δὲ τὸν τυφλὸν ἐφάνη ἐν τῇ αὐτῇ ὥρᾳ, πῶς ἤκουσε τὰς φωνὰς καὶ τὸ τρέξιμον, καὶ ὡσὰν τάχα νὰ εἶχε τὸ φῶς του ἐγύρισε πρὸς τὸ μέρος ἐκεῖνο καὶ ἐκοίταξε νὰ μάθῃ τί ἦτον. Αὐτὰ εἶδον ἐν ὁράματι ἐν ταυτῷ καὶ οἱ τρεῖς, καὶ ἀποτεινάξαντες τὸν

ὕπνον, (ὢ τοῦ θαύματος! ὢ τῆς πρὸς Θεὸν παῤῥησίας, καὶ τῆς θαυματουργικῆς χάριτος τῆς Ὁσίας!) ἡ μὲν ἄλαλος ἐλάλει τρανῶς, ὁ δὲ χωλὸς ἐπεριπάτει ἐλευθέρως, καὶ ὁ τυφλὸς ἔβλεπε καθαρῶς· καὶ διηγούμενοι εἰς τοὺς παρόντας τὸ ὅραμα (ὅτι διενυκτέρευον πάμπολυ πλῆθος ἀνθρώπων ἐν τῷ Ναῷ), πάντας ἐξέπληξαν καὶ εἰς δόξαν Θεοῦ, καὶ τῆς Ἁγίας αὐτοῦ ἐκίνησαν. Τὰ παράδοξα καὶ ὑπερφυσικὰ ταῦτα θαύματα, ἀκουσθέντα καὶ κοινολογηθέντα, ἐκίνησαν ὅλον σχεδὸν τὸ πλῆθος τῆς πόλεως εἰς τὴν θεωρίαν τους, καὶ οὕτως ἔγιναν πασίδηλα καὶ κοινότατα ὥστε ὁποῦ καὶ ὁ τότε Ἀγᾶς τοῦ τόπου τὸ ἔμαθε, καὶ μὴ πιστεύσας εἰς τὴν κοινὴν φήμην ἐπαράστησεν ἐμπρός του τὸν στραβὸν, καὶ τὸν κουτζὸν, καὶ τὴν βουβὴν, καὶ ἰδὼν αὐτοὺς καὶ ἀκριβῶς ἐρευνήσας, ἐβεβαιώθη καὶ ὑπερεθαύμασε καὶ αὐτὸς μετὰ πάντων τῶν ἄλλων. Οὐ μόνον δὲ εἰς τοὺς μετὰ πίστεως προσερχομένους εἰς τὸν Ναόν της, θαυματουργεῖ ἡ Ὁσία, ἀλλὰ καὶ εἰς τοὺς μακρόθεν ἐπικαλουμένους τὴν αὐτῆς θείαν χάριν καὶ ἀντίληψιν.

Ὅτι κατὰ τὸν αὐτὸν χρόνον, ἡ σύζυγος τοῦ ἡγεμόνος τῆς Βλαχίας, Σωφρονίτζα τὸ ὄνομα, ἔπασχε δεινῶς ἀπὸ μητρικὰ πάθη, καὶ ἐκιδύνευεν, ὡσὰν ὁποῦ δὲν εὑρέθη ἱκανὸς ἰατρὸς νὰ τὴν ἰατρεύσῃ· ἀκούσασα δὲ τὴν θαυματουργικὴν χάριν, ἣν ἔλαβε παρὰ Θεοῦ ἡ Ὁσία Ματρῶνα, τὴν ἐπεκαλέσθη εἰς βοήθειαν, καὶ τὴν νύκτα ἐκείνην βλέπει ἐν ὁράματι μίαν Καλογραίαν, καὶ τῆς λέγει, ἐγὼ εἶμαι ἡ Χιοπολῖτις Ματρῶνα· εἶτα ἀλείψασα τὸ πάθος τῆς γυναικὸς μὲ κάποιόν τι ὁποῦ ἐκράτει εἰς τὰς χεῖράς της, ἐφάνη πῶς τὴν ἰάτρευσε, καὶ αὐτὴ ἐξύπνος γενομένη, εὑρέθη, (ὢ τοῦ θαύματος!) ὅλη ὑγιὴς, καὶ μετὰ κατανύξεως ἐδόξαζε τὴν χάριν τῆς Ἁγίας καὶ ὄχι μόνον μὲ λόγους εὐχαρίστα αὐτὴν, ἀλλὰ καὶ μίαν πολύτιμον χρυσῆν ἱερατικὴν στολὴν ἀπέστειλεν εἰς τὸν Ναόν της, καὶ μίαν μεγάλην ἀργυρᾶν κανδήλαν.

Ἀλλὰ καὶ εἰς τοὺς ᾳψέ. (1705) ἦλθεν ἕνας Χριστιανὸς ἀπὸ τὴν Κρήτην, μὲ ὀφθαλμοὺς ἀνοικτοὺς, ἀλλὰ χωρὶς ζτελείως νὰ βλέπῃ, ὅστις, ἐπικαλούμενος τὴν χάριν τῆς Ἁγίας μετὰ πίστεως, ἔλεγεν, Ἁγία τοῦ Θεοῦ, δὲν ἀναχωρῶ ἀπὸ τὸν Ναόν σου ἐὰν δὲν ἰδῶ τὸ φῶς μου· καὶ κατὰ τὴν πίστιν αὐτοῦ ἐγένετο· ὅτι κατὰ τὴν κ΄. τοῦ Ὀκτωβρίου ἐν τῇ μνήμῃ τῆς Ὁσίας, ἔλαβε τὸ φῶς του καὶ τόσον καθαρὰ ἔβλεπεν, ὁποῦ εἰς βεβαίωσιν τοῦ γενομένου θαύματος, ἐμέτρα μίαν πρὸς μίαν τὰς ἀναμμένας κανδήλας· καὶ δοξάζων τὸν Θεὸν, εὐχαρίστα τὴν Ἁγίαν.

Εἰς δὲ τοὺς ᾳψκγ΄. (1723) Μαρτίου ά. ἡμέρᾳ παρασκευῇ, ἔλαβεν ἕνας κωφὸς καὶ ἄλαλος τὴν ἀκοὴν καὶ τὴν λαλιάν του μέσα εἰς τὸν Ναὸν τῆς Ὁσίας· καὶ ἔμεινεν εἰς τὸ ἑξῆς ἀκούων καλῶς, καὶ λαλῶν καθαρῶς, εἰς δόξαν Θεοῦ τοῦ ἐνδοξαζομένου ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Προσέτι καὶ εἰς τοὺς ᾳψλδ΄. (1734) Μαΐου δ΄. ἐθαυμαστώθη ἡ χάρις τῆς Ἁγίας εἰς μίαν ἄλαλον, κατὰ τὸν ἀκόλουθον τρόπον. Κάποιοι ἄνθρωποι ἀπὸ τὴν Νῆσον Σίφνον, ἐταξείδευον εἰς τὴν Κωνσταντινούπολιν ὁμοῦ μὲ τὰς γυναῖκάς τους, καὶ ἐμποδισθέντες ἀπὸ ἐναντίους ἀνέμους, εὐγῆκαν ἐδῶ εἰς τὴν Χίον. Λοιπὸν ἦλθον εἰς προσκύνησιν τῆς Ὁσίας ἡ γυναῖκες, καὶ καντὰ εἰς τὰ ἄλλα τους ζητήματα, ἐζήτησαν καὶ ἐπιτήδειον ἄνεμον διά τὸ ταξείδιόν τους. Μετὰ δὲ τὴν προσκύνησιν καὶ τὴν προσευχήν τους, ἔδωκε κάθε μία Λειτουργείαν εἰς τὸν Ἐφημέριον, διὰ νὰ λειτουργήσῃ διὰ τὸ κατευόδιόν τους· (ὁ Παπᾶ Ἰωάννης ὁ ἐπιλεγόμενος Ξανθὸς, ἦτον οὗτος, γνωστὸς ἡμῖν ἅπασι). μία ἐξ αὐτῶν Κωνσταντίνα ὀνομαζομένη, ἔδωκε Λειτουργίαν χωρὶς νὰ εἰπῇ τὸ ὄνομά της· τὴν ἐρωτᾷ ὁ ἱερεὺς, τὸ ὄνομά σου; καὶ ἀπεκρίθησαν ἡ ἄλλαις, μὴ τὴν ἐρωτᾷς Δέσποτά μου, ὅτι εἶναι βουβή· ἡ χάρις τῆς Ὁσίας νὰ τῆς δώσῃ τὴν λαλιάν της, εἶπεν ὁ ἱερεὺς, καὶ ἀνεχώρησαν αἱ γυναῖκες· ἀλλὰ πρὸ τοῦ νὰ δύσῃ ὁ Ἥλιος, νὰ καὶ ἔρχονται αἱ αὐταὶ γυναῖκες εἰς τὸν Ναὸν τῆς Ὁσίας μὲ χαρμόσυνον κατάνυξιν, ἔχουσαι καὶ τὴν Κωνσταντῖναν λαλοῦσαν καθαρῶς, ὡς καὶ αἱ ἄλλαι, καὶ ἔκαμναν ἐπίδειξιν τοῦ Θαύματος, δοξάζουσαι τὸν Θεὸν, καὶ εὐχαριστοῦσαι τὴν Ὁσίαν, αὐτοῦ Ματρῶναν.

Εἰς δὲ τοὺς ᾳψμγ΄. (1743) ἔφεραν μίαν γυναῖκα ἀπὸ τὸ Τάλαρον, (τόπος ἔξω τῆς χώρας, οὕτω καλούμενος) βασταζομένην ὑπὸ τεσσάρων ἀνθρώπων, ὅτι τόσον πολλὰ πρισμένη ἦτον ἡ κοιλία της, ὥστε ὁποῦ οἱ ἰατροὶ τὴν ἀπεφάσισαν πλέον εἰς θάνατον. Ἔμεινε δὲ εἰς τὸν Ναὸν τῆς Ἁγίας, ἡμέρας τινας· καὶ μίαν νύκτα φαίνεται εἰς τὸν ὕπνον της μία Καλογραία, καὶ τῆς λέγει, ἄλειψε τὸ πάθος σου μὲ λάδι ἀπὸ τὴν κανδήλαν μου, καὶ θέλες ὑγιάνεις· καὶ αὐτὴ ζητήσασα τὸ πρωῒ λάδι ἀπὸ τὴν κανδήλαν τῆς Ἁγίας, καὶ ἀλείψασα τὴν κοιλίαν της, ἐξεπρίσθη, (ὢ τοῦ θαύματος!) καὶ ἡ πρότερον ἐλθοῦσα ὑπὸ τεσσάρων βασταζομένη, ἀνεχώρησεν ὕστερον καλῶς ἔχουσα· καὶ περιπατοῦσα μὲ τοὺς ἰδίους της πόδας, εἰς ἔνδειξιν τοῦ θαύματος, ἐπῆγεν εἰς τὸ ὀσπίτιόν της, δοξάζουσα τὸν Θεὸν, τὸν οὕτω δοξάζοντα τοὺς Ἁγίους αὐτοῦ.

Τὸ θαυμαστὸν εἶναι, ὁποῦ ὄχι μόνον εἰς τὰ τέκνα της, τοὺς πιστοὺς δηλονότι, βάλλει τὸν ἄρτον της ἡ Ὁσία Ματρῶνα, καὶ τὰ εὐεργετεῖ πολυτρόπως, ἀλλὰ καὶ εἰς τὰ κυνάρια, καὶ εὐεργετεῖ θαυμασίως καὶ τοὺς ἀπίστους. Ἡ δεκάτη ὀγδόη τοῦ Ἰουλίου ἦτον εἰς τοὺς ᾳψμέ. (1745) καὶ ἦλθεν εἰς εἰς τὸν Ναόν της χειραγογούμενος ἕνας Τοῦρκος Χῖος, παντάπασι τυφλὸς, καὶ μὲ τὴν συντροφόν του ἀπαιδευσίαν, λέγει πρὸς τὸν Ἐφημέριον· Παπᾶ, εἰπέ της νὰ δώσῃ καὶ εἰς ἐμένα τὸ φῶς μου· (ὁ προῤῥηθεὶς Παπᾶ Ἰωάννης ἦτον) καὶ αὐτὸς, διὰ νὰ μὴν τὸν ἐνοχλῇ ὁ Τοῦρκος, τὸν ἐπῆρεν ἀπὸ τὴν χεῖρα, καὶ λέγει, Ἁγία μου, κάμε τὸ θαῦμά σου νὰ ἰδῇ καὶ οὗτος ὁ ἄνθρωπος τὸ φῶς του· εἶτα ἐπῆγεν εἰς τὸ ὀσπήτιόν του ὁ Ἀγαρηνὸς, καὶ τὴν νύκτα ἐκείνην βλέπει (καθὼς ἔλεγε) μίαν Καλογραίαν, καὶ τοῦ λέγει, ἐσὺ εἶσαι ὁποῦ ἦλθες ἐχθὲς, καὶ μοῦ ἐζήτησες νὰ ὑγιάνουν τὰ ὀμμάτιά σου; ὕπαγε εἰς τὸν Παπᾶν ἐκεῖνον, καὶ εἰπέ του νὰ σοῦ δώσῃ ἀπὸ τὸ λουτρὸν ὁποῦ εἶναι μέσα εἰς τὸ ἁρμάρι, νὰ πλύνῃς τὰ ὀμμάτιά σου νὰ ὑγιάνουν.

Τοῦτο ἰδὼν τὴν νύκτα, δὲν χάνει καιρὸν, ἀλλὰ παρευθὺς τὸ ξημέρωμα, ὑπάγει πάλιν χειραγωγούμενος εἰς τὸν Ναὸν τῆς Ὁσίας, καὶ λέγει πρὸς τὸν Ἐφημέριον· ἀπόψε εἰς τὸν ὕπνον μου, ἦλθε μία καλογραία, καὶ μοῦ εἶπεν, ἄμε εἰς τὸν Παπᾶν ἐκεῖνον, νὰ σοῦ δώσῃ ἀπὸ τὸ λουτρὸν ὁποῦ εἶναι μέσα εἰς τὸ ἁρμάρι, νὰ πλύνῃς τὰ ὀμμάτιά σου νὰ ὑγιάνουν. Δὲν τὸ ἐκατάλαβεν εἰς τὴν ἀρχὴν ὁ ἱερεὺς τί ἐννοῦσεν ἡ φανεῖσα, λουτρὸν, καὶ ἀποκρίνεται μὲ ἀπορίαν· ἡμεῖς ἀγᾶ μου δὲν ἔχομεν ἐδῶ λουτρὸν, καὶ συλλογιζόμενος τί τάχα εἶναι τὸ λουτρὸν, ἐνθυμήθη τὸ ἁγίασμα ὁποῦ εἶχε μὲ τὴν ἁγίαν κάραν, καὶ ἦτον φυλαγμένον εἰς τὸ ἁρμάρι· καὶ ἔδωκεν ἐξ αὐτοῦ ὀλίγον μέσα εἰς ἕνα φιλτζάνι εἰς τὸν τυφλὸν, καὶ αὐτὸς ἀπελθὼν εἰς τὸ ὀσπήτιόν του, ἔπλυνε τοὺς ὀφθαλμούς του μὲ τὸ ἡγιασμένον ἐκεῖνο ὕδωρ, καὶ (ὢ τοῦ θαύματος!) εἶδεν εὐθὺς τὸ φῶς του.

Ἐν τῷ αὐτῷ ἔτει, ἔγινε καὶ τὸ ἀκόλουθον· μία γυναῖκα εἶχε πάθος δεινὸν, καὶ ἔπασχεν ἡ ἀθλία τρεῖς χρόνους, ἀλλὰ τέλος πάντων τὴν ἀπεφάσισαν εἰς θάνατον οἱ ἰατροί· οἱ δὲ συγγενεῖς της μὴ δυνάμενοι ἄλλο τί νὰ κάμουν, κατέφυγον εἰς τὴν χάριν τῆς Ὁσίας Ματρῶνας, καὶ προσκαλεσάμενοι τὴν ἁγίαν της κάραν μετὰ πίστεως, ἔψαλλον ἁγιασμὸν εἰς τὴν ἀσθενῆ,

καὶ ἔλαβε καλῶς τὴν ὑγίαν της, δοξάζουσα τὸν Θεόν.

Εἰς δὲ τὸ ᾳψν'. 1750, ἦλθεν ἀπὸ τὴν Κωνσταντινούπολιν ἕνας νέος ἄλαλος, καὶ ἔμεινεν ὑπηρέτης τοῦ Ναοῦ τῆς Ἁγίας καὶ καθ' ἑκάστην ἔκλαιεν, ἐνώπιον τῆς εἰκόνος τῆς Ὁσίας, νὰ τοῦ δώσῃ χάριν νὰ ὁμιλήσῃ. Λοιπὸν μίαν νύκτα βλέπει τὴν Ἁγίαν εἰς τὸν ὕπνον του, καὶ τοῦ λέγει, τί ἔχεις καὶ κλαίεις; καὶ τοῦ ἐφάνη πῶς ὡμίλησε καὶ τῆς ἀπεκρίθη, κλαίω, διὰ τί δὲν ἠμπορῶ νὰ ὁμιλήσω. Καλὰ εἶσαι τοῦ εἶπεν ἡ Ὁσία, ἰδοὺ ὁποῦ ὁμιλεῖς, καὶ ἀποτεινάξας τὸν ὕπνον, εὑρέθη ἀληθὲς τὸ ὅραμα. καὶ εἰς τὸ ἑξῆς ἐλάλει καθαρῶς, δοξάζων τὴν εὐεργέτιδα αὐτοῦ Ματρῶναν.

Ἐν τῷ αὐτῷ ἔτει, ἦλθεν ἕνας νέος ἀπὸ τὸ Πέραμα δαιμονιζόμενος, ὅστις πίπτωντας εἰς τὴν γῆν, ἐκυλίετο σπαραττόμενος ὑπὸ τοῦ δαιμονίου· ἀλλὰ φαίνεται πάλιν καὶ εἰς αὐτὸν ἡ ἁγία ἐν ὁράματι, καὶ τοῦ λέγει, καλὰ εἶσαι καὶ ἄμε εἰς τὸν τόπον σου. καὶ διϋπνισθείς, ἐγνώρισε τὸν ἑαυτόν του ἐλεύθερον ἀπὸ τὴν ἐνόχλησιν τοῦ δαιμονίου, καὶ ἀπῆλθεν εἰς τὸν τόπον του, δοξάζων τὸν Θεὸν, καὶ εὐφημῶν τὴν Ἁγίαν.

Πρὸς τούτοις καὶ ἕνας ἀπὸ τὴν Κωνσταντινούπολιν, Θεοδόσιος ὀνόματι, εἶχε βεβλαμμένον τὸ σῶμά του, καὶ ἦτον κατάκειτος δεκαοκτὼ χρόνους· μίαν νύκτα εἶδε τὴν Ὁσίαν Ματρῶναν (ὡς διηγεῖτο ὁ ἴδιος) καὶ τοῦ ἔλεγεν, ἔλα εἰς τὴν Χίον εἰς τὸν Ναόν μου, καὶ θέλεις ἰατρευθῆς· καὶ ἐλθὼν ἐδῶ εἰς τὸν Ναὸν τῆς Ἁγίας ἐν ἔτει ᾳψζ'. (1757) ἔλαβε τὴν ποθουμένην ὑγείαν του.

Εἰς τοὺς ᾳψξ'. 1760 ἐκοιλοπόνα μία γυναῖκα τρεῖς ἡμέρας, καὶ τὴν ἀπεφάσισαν εἰς θάνατον, καὶ αἱ μαῖαι καὶ οἱ ἰατροί, ἀλλὰ προφθάσασα ἡ τερατουργὸς χάρις τῆς Ὁσίας, τὴν ἠλευθέρωσεν ἀπὸ τὸν κίνδυνον· ἐπειδὴ ποιήσαντες ἁγιασμὸν μετὰ τῆς Ἁγίας κάρας, εὐθὺς ἐγεννήθη τὸ παιδίον ὑγιὲς μὲ καλὸν τρόπον, καὶ ἐλυτρώθη ἡ μήτηρ ἀπὸ τὸν θάνατον.

Ἀλλὰ καὶ τὸ ἀκόλουθον τοῦτο θαῦμα δὲν εἶναι δίκαιον, νὰ μένῃ ἀνέκδοτον καὶ ἀκοινολόγητον, ἐπειδὴ ἡ γυνὴ ὁποῦ ἔλαβε τὴν εὐεργεσίαν, μᾶς τὸ ἐδιηγήθη πολλάκις εἰς δόξαν τῆς Ὁσίας, μὲ ὅλα του τὰ περιστατικά.

Μία γυναῖκα Μπαλάσα καλουμένη ἀπὸ τὸ Νεοχῶρι τῆς Κωνσταντινουπόλεως, καλῶς ἔχουσα εἰς τὴν ὑγείαν της, ἄρχισε νὰ βλέπῃ μερικαῖς φοραῖς εἰς τὸν ὕπνον της ἕνα φοβερὸν ἀράπην, ἄλλοτε δὲ ἔβλεπε δύω, καὶ τόσον ὑψηλοὶ ἐφαίνοντο αὐτοί, ὁποῦ ἔφθανεν ἡ κορυφή τους ἐπάνω εἰς τὴν στέγην τοῦ ὁσπητίου. Ὁ ὑπερβολικὸς ἐκεῖνος φόβος τὴν ἔκαμνε νὰ μουγγρίζῃ μέσα εἰς τὸν ὕπνον της, καὶ νὰ μὴ δύναται νὰ ἐξυπνήσῃ, οὔτε νὰ εἰπῇ λόγον ἔναρθρον, ὁποῦ νὰ καταλάβῃ ἄλλος τινὰς τί ἔχει. Ἀπὸ τὰς φαντασίας αὐτὰς, ἄρχισε καὶ νὰ ἔχῃ ἀνωμαλίαν εἰς τὸ σῶμά της, καὶ νά μὴν ἔχει καλὴν τὴν ὑγείαν της. Ἦλθεν ἡ ἑσπέρα τῆς μεγάλης Παρασκευῆς, καὶ ἡ νύκτα τοῦ μεγάλου Σαββάτου, καὶ διενυκτέρευσεν εἰς τὴν ἐκκλησίαν μετὰ πολλῶν ἄλλων γυναικῶν, καὶ τὰ δάκρυά της ἦσαν (λέγει) πολλὰ καὶ ἀέννα, ἀλλὰ μεμιγμένα μὲ γέλοια, χωρὶς νὰ ἔχῃ ὄρεξιν γέλωτος. Ἔμενεν οὕτως ἔχουσα, ἕως τῆς Ἀναλήψεως, καὶ τότε ἐπῆγεν εἰς τὰ Ψωμαθεῖα μὲ ἄλλας γυναῖκας εἰς τὸν Ναὸν καὶ εἰς τὴν πανήγυριν τῆς ἐνδόξου τοῦ Χριστοῦ Ἀναλήψεως, μήπως τῆς ἀπεράσῃ ἐκείνη ἡ ἀνωμαλία, καὶ γένῃ καλὰ, διὰ τῆς χάριτος τοῦ ἀπὸ γῆς εἰς οὐρανοὺς ἀναληφθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· καὶ ὅλην τὴν νύκτα ἐκείνην εὑρίσκετο εἰς τὴν προτέραν της κατάστασιν· εἰς δὲ τὴν λειτουργίαν, τὸν καιρὸν τῆς μεγάλης εἰσόδου, ἄρχισαν νὰ ἐνοχλῶνται καὶ νὰ φωνάζουν οἱ ἐκεῖσε δαιμονιζόμενοι, καὶ τότε ἐφανερώθη καὶ τὸ κεκρυμμένον δαιμόνιον τῆς γυναικὸς, ὅθεν ἐφώναζε καὶ αὐτὴ μετὰ τῶν ἄλλων, καὶ τὰ ὅμοια μὲ τοὺς ἄλλους ἔκαμνε· μετὰ τὴν ἑορτὴν ἦλθε πάλιν εἰς τὸ ὁσπήτιόν της, ἀλλὰ τὸ πονηρὸν πνεῦμα, ἀφ' οὗ ἐφα-

νερώθη τὴν ἐνοχλεῖ πολλὰ, καὶ δὲν τὴν ἀφίνει πλέον νὰ ἡσυχάσῃ ἐκεῖ· ὅθεν τὴν ἔφεραν οἱ συγγενεῖς της εἰς τὴν Παναγίαν τὴν ἐπιλεγομένην Κουμαριώτισαν, καὶ συναπτῶς ἐτέλεσαν οἱ Ἐφημέριοι τρία σαρανταλείτουργα διὰ τὴν ὑγείαν της, τῆς ἔψαλλαν ἀμετρήτους ἁγιασμοὺς, καὶ τῆς ἀνεγίνωσκαν ἐξορκισμοὺς καὶ τὰ τέσσαρα εὐαγγέλια, καὶ παρακλήσεις πρὸς τὴν Θεοτόκον, καὶ αὐτὰ ἀκολουθοῦν νὰ γίνωνται εἰς ἕνα ὁλόκληρον χρόνον· ὅτι οὐ μόνον ἐξ ἰδίων της ἐπλήρονεν, ἀλλὰ καὶ πολλοὶ ἄλλοι ἀπὸ συμπάθειαν καὶ φιλανθρωπίαν κινούμενοι, ἐπλήρωναν τοὺς ἱερεῖς νὰ τῆς ἀναγινώσκουν. Πολλάκις καὶ οἱ Ἱερεῖς συμπονοῦντες καὶ σπλαγχνιζόμενοι αὐτὴν διὰ τὰ δεινὰ ὁποῦ ἔπασχε, τῆς ἀνεγίνωσκον ἀμισθί. Καὶ ταῦτα μὲν ἐκεῖνοι· ἡ δὲ γυνὴ, ὅλον ἐκεῖνον τὸν χρόνον τὸν ἀπέρασεν, ὡσὰν νὰ ἦτον μία ἑβδομάδα, μὲ νηστείαν καὶ ξηροφαγίαν, ἐγκρατευόμενη καὶ ἀπὸ τὸ ψωμί, πλὴν μὲ ὅλα ταῦτα τὸ πονηρὸν πνεῦμα δὲν ἐξήρχετο, ἀλλὰ ἐφώναζε, δὲν εὐγαίνω, δὲν εὐγαίνω, ἐὰν δὲν ὑπάγῃ νὰ πέσῃ εἰς τὸν τάφον τῆς Ἁγίας Κυρᾶς. Ὁ Διάκονος τῆς Ἐκκλησίας, ὅστις ἦτον Χῖος, ἀκούωντας τοῦτο πολλάκις, ἐδιηγήθη καὶ εἰς τοὺς ἄλλους, καὶ εἰς αὐτὴν ἀκόμη τὴν ἐνοχλουμένην, τὰ συχνὰ καὶ μεγάλα θαύματα τῆς Ὁσίας, καὶ ἐπειδὴ κατ' ἐκείνας τὰς ἡμέρας ἡτοιμάζετο νὰ ἔλθῃ εἰς τὴν Χίον, ὑπεσχέθη νὰ τὴν φέρῃ εἰς τὸν Ναὸν τῆς Ἁγίας ἀσφαλῶς, καὶ παραλαβόντες αὐτὴν ὁ Διάκονος, καὶ ἕνας ἄλλος γνωστὸς Χῖος προηγούμενος τοῦ Ἁγίου Μηνᾶ, ὁμοῦ καὶ μίαν ἄλλην πολίτισσαν, ἡ ὁποία εἶχε χρείαν νὰ ἔλθῃ εἰς τὴν Χίον, τὰς ἔφεραν ἐδῶ εἰς τοὺς ᾳψξά. (1761) Μαΐου ζ'. Ἐμενε λοιπὸν ἡ ἐνοχλουμένη εἰς τὸν Ναὸν τῆς Ἁγίας ἕως εἰς τὴν θ'. τοῦ αὐτοῦ Μηνός· τὴν νύκτα ἐκείνην, οἱ μὲν ἄλλοι ἀσθενεῖς ἐκοιμήθησαν, αὐτὴ δὲ ἦτον πλαγιασμένη ἔμπροσθεν τῆς Ἁγίας Εἰκόνος ἔξυπνος, καὶ ἔβλεπε τὴν εἰκόνα τῆς Ὁσίας· (ὅτι ὅλα τὰ καντήλια ἄναπταν ἀκοίμητα, καὶ ἐφωταγωγοῦσαν τὴν Ἐκκλησίαν)· ἐκεῖ ἀκούει ἔξαφνα ἕναν μεγάλον κρότον, καὶ ἐνταυτῷ ἔσβυσαν ὅλα τὰ καντήλια· ὁ κρότος δὲν παύει, ἀλλὰ αὐξάνει, καὶ τῆς ἐφαίνετο ὅτι συγκρούονται καὶ κτυποῦνται τὰ καντήλια τὸ ἕνα μὲ τὸ ἄλλο, καὶ ἔκαμναν μεγάλον καὶ φοβερὸν κτύπον, καὶ αὐτὸν τὸν ἀκούει μόνη ἡ ἐνοχλουμένη, οἱ δὲ ἄλλοι κοιμώμενοι δὲν τὸν ἤκουσαν παντελῶς. Ἀπέρασεν ἡ νύκτα, καὶ μετὰ τὴν λειτουργίαν, τῆς ἔψαλλον ἁγιασμὸν μετὰ τῆς ἁγίας κάρας, καὶ τόσον ἀγρίας φωνὰς εὔγαλε, καὶ τόσον τὴν ἐσπάραξε τὸ πονηρὸν πνεῦμα, ὥστε ὁποῦ ἐτρόμαξαν οἱ παρόντες. Ἡ ἄλλη Πολίτισσα, βλέπουσα τοὺς σπαραγμοὺς καὶ τὰ κτυπήματα τῆς ἐνοχλουμένης ἐπάνω εἰς τὰ μάρμαρα τοῦ ἐδάφους, τῆς ἔχυσεν ὀλίγον ἡγιασμένον ὕδωρ μέσα εἰς τὸ στόμα, καὶ παρευθὺς ἔμεινεν ἀκίνητος παντάπασι, καὶ χωρὶς φωνὴν καὶ πνοήν, τόπον ὁποῦ ἐφοβήθησαν ὅλοι νὰ μὴν ἀπέθανεν· ἀλλὰ μετὰ ὥραν ἱκανὴν ἦλθεν εἰς τὸν ἑαυτόν της, καὶ ἔγινε καλὰ, καὶ εἰς τὸ ἑξῆς πλέον δὲν τὴν ἐνώχλησεν· ἔλεγεν ὅμως τὸ ἐν αὐτῇ λαλοῦν πονηρὸν πνεῦμα, πῶς ἀπὸ τὰ βυζία της θέλω νὰ εὔγω· ὅθεν ἀφοῦ εὐγῆκεν, ἀνοιξαν τὰ βυζία της, καὶ ἔτρεχαν ὕλαι ὡσὰν ἀπὸ πλημμύραν, καὶ ἐφαγώθησαν ἡ ρώγαις τους, καὶ ἱκανῶς ἐβασανίσθη, πλὴν ὑγίαναν καὶ αὐτά. Καὶ διὰ μὲν τὰ ἄλλα, ἔχαιρε καὶ ἐδόξαζε τὸν Θεὸν, καὶ τὴν Ὁσίαν ἐξ ὅλης ψυχῆς καὶ καρδίας εὐχαρίστα, ἐλυπεῖτο ὅμως διὰ τὴν παράλυσιν τῶν χειρῶν της, ὅτι ἀπὸ τὰ πολλὰ κτυπήματα, ἐβλάφθησαν οἱ ἁρμοὶ τῶν δακτύλων της, καὶ μὲ δυσκολίαν ἐπεριμάζωνε τοὺς δακτύλους της, εἰς τὸ νὰ πιάσῃ τίποτε· ἀλλὰ ποιήσασα δύω χεῖρας ἀργυρᾶς, τὰς ἐκρέμασεν εἰς τὴν Εἰκόνα τῆς Ἁγίας Ὀκτωβρίου ιθ'. ἐν τῇ παραμονῇ τῆς μνήμης της, καὶ ὑγίαναν καλῶς καὶ οἱ δάκτυλοί της· εἶτα κουρευθεῖσα Καλογραία, ἔμεινεν ἐδῶ εἰς τὴν Χίον, ἕως τέλους τῆς ζωῆς της, ἐλευθέρα τῶν ἐπηρειῶν τοῦ δαίμονος, διὰ τῆς χάριτος τῆς Ὁσίας. Εἶναι καὶ ἄλλα θαύματα ἀνέκδοτα,

ἀλλὰ διὰ τί ἐξαπλώθη εἰς πολὺ μάκρος ἡ διήγησις, τὰ ἀφίνομεν, καὶ μόνον τὸ ἀκόλουθον διηγηθέντες, τελειώνομεν τὸν λόγον.

Κάποιος ἄνθρωπος ὑπὸ τὴν Νῆσον Κῶ, Ἰωάννης ὀνόματι, ναυπηγὸς τὴν τέχνην, ἤγουν μαραγκὸς καραβίων, κάτοικος εἰς τὸν Γαλατᾶν τῆς Κωνσταντινουπόλεως, εἶχεν ἕνα θυγάτριον ἐνοχλούμενον ὑπὸ ἀκαθάρτου πνεύματος, καὶ πηγαίνοντάς το εἰς τὸν ἐκεῖσε Ναὸν τοῦ τιμίου Προδρόμου, ὁποῦ εἶναι ἡ Εἰκὼν τῆς Ὁσίας Ματρώνης, καὶ λαμπρῶς ἑορτάζεται ὑπὸ τῶν ἐν Κωνσταντινουπόλει πραγματευομένων Χίων, καὶ ἐπικαλεσάμενος τὴν χάριν τῆς Ὁσίας, ἔτυχε τοῦ ποθουμένου, καὶ ἠλευθερώθη ἡ κόρη ἀπὸ τὴν δαιμονικὴν ἐνόχλησιν· ὕστερον ἔπαθε καὶ αὐτὸς ὁ ἴδιος Ἰωάννης παράλυσιν εἰς τοὺς πόδας, καὶ ἔμειναν ξηροὶ καὶ ἀκίνητοι, καὶ πολλὰ δαπανήσας εἰς τοὺς ἰατροὺς, δὲν ἠμπόρεσε νὰ λάβῃ θεραπείαν, ἀλλ' ἔμεινεν οὕτω κακῶς διακείμενος εἰς πολὺν καιρόν. Ἀπελπισθεὶς λοιπὸν ἀπὸ ἀνθρωπίνην βοήθειαν, ἔρριψεν ὅλην του τὴν ἐλπίδα εἰς τὴν Ὁσίαν Ματρῶναν, ἥτις καὶ πρότερον τὸν εὐηργέτησεν εἰς τὴν θυγατέρα του. Ἡ δὲ Ἁγία τοῦ εἰσακούει, πλὴν δὲν τὸν θεραπεύει ἐκεῖ, καθὼς αὐτὸς ἐστοχάζετο ἀλλὰ φαίνεται ἐν ὁράματι, καὶ τοῦ λέγει, ἐὰν θέλεις τὴν ὑγείαν σου, πήγαινε εἰς τὴν Χίον εἰς τὸν Ναόν μου νὰ τὴν λάβῃς. Ἐξυπνήσας αὐτὸς ὅλος χαρά, διηγεῖται τὸ ὅραμα εἰς τοὺς παρόντας· τὸ διηγεῖται ἔπειτα καὶ εἰς τοὺς πνευματικούς Πατέρας, καὶ ὅλοι τὸν ἐγκαρδιώνουν νὰ πηγαίνῃ· ὅθεν κοινωνήσας τῶν ἀχράντων Μυστηρίων, μετὰ τῆς συζύγου του Δεσποινοῦς, καὶ τῆς θυγατρός του Μαρίας, ἐμβαρκαρίσθη καὶ ἦλθεν εἰς τὸν Ναὸν τῆς Ὁσίας· καὶ πεσὼν μετὰ ἀδιστάκτου πίστεως καὶ δακρύων πολλῶν ἔμπροσθεν τῆς Ἁγίας Εἰκόνος αὐτῆς, ἐδεήθη νύκτα καὶ ἡμέραν, νὰ τὸν ἐλευθερώσῃ ἀπὸ τὸ δεινὸν ἐκεῖνο πάθος, ὡς ἠλευθέρωσε πρότερον καὶ τὴν θυγατέρα του· καὶ εἶχε καλὰς ἐλπίδας, πῶς θέλει τύχῃ τοῦ ποθουμένου, ἐν τῇ ἑορτῇ τῆς εὑρέσεως τῆς Ἁγίας κάρας, ἥτις ἐπλησίαζε τότε, ὅ καὶ ἐγένετο· ὅτι πεσὼν ὑπὸ τοὺς πόδας τῶν ἱερέων ἐν τῷ καιρῷ τῆς εἰσόδου τῶν τιμίων δώρων, καὶ ἐπικαλεσάμενος τὴν ἐξ ὕψους βοήθειαν, διὰ τῶν πρεσβειῶν τῆς Ὁσίας, αἰσθάνθη (λέγει) ἕνα λεπτότατον ἀέρα ὁποῦ τοῦ ἐδρόσισε τοὺς πόδας, καὶ (ὢ τοῦ παραδόξου θαύματος!) παρευθὺς ἀνωρθώθη, καὶ ἐστάθη, μὲ θαῦμα καὶ ἔκπληξιν τῶν ὁρώντων, ὑγιὴς καὶ καλῶς ἔχων εἰς τοὺς πόδας του. Τοῦτο τὸ θαῦμα οὐ μόνον τὴν τότε παροῦσαν πολυάριθμον σύναξιν τῶν πιστῶν ἐξέπληξεν, ἀλλὰ καὶ πᾶσαν τὴν Πόλιν συνεκίνησε, καὶ ἔτρεχον ὅλοι, πᾶσα ἡλικία, νὰ ἰδοῦν τὸν πρώην παράλυτον περιπατοῦντα, διὰ τῆς χάριτος τῆς Ὁσίας καὶ Θεοφόρου μητρὸς ἡμῶν Ματρώνης, ἧς ταῖς ἁγίαις πρεσβείαις λυτρωθείημεν καὶ ἡμεῖς ἅπαντες τῶν ψυχικῶν καὶ σωματικῶν παθῶν, καὶ ἀξιωθείημεν τῆς Βασιλείας τῶν οὐρανῶν Ἀμήν.

Ὠδὴ ζ'. Ὁ διασώσας ἐν πυρί.

Σοῦ ἐπὶ πέτραν τὴν στερρὰν, τῆς ἐπὶ τὸν Κτίστην ἐλπίδος, στήσασα πόδας τῆς ψυχῆς, κατηυθύνθην τὰ σὰ διαβήματα, εἰς ὁδὸν τὴν σωτήριον, ἐντολῶν τῶν τοῦ Δεσπότου ὁσία Μῆτερ.

Τῆς Ἰουδὶθ τὰ κατὰ σὲ, καθυπερτεροῦντα ὁρᾶται· οὐχ ὁλοφέρνειν κτείνεις γὰρ, ἀλλ' αὐτοῦ τοῦ τὴν Εὔαν πτερνίσαντος, ξίφει τέμνεις ἀσκήσεως, κεφαλήν· καὶ θριαμβεύεις αὐτοῦ τὴν ἧτταν.

Ἄκλυστος πέφηνας λιμὴν, τοῖς ἐν τῇ θαλάσσῃ τοῦ βίου, ναυτιλλομένοις καὶ πολλῶν, συμφορῶν ποντουμένοις τῷ κλύδωνι, εἰς γαλήνην μετάγουσα, πειρασμῶν τὴν καταιγίδα σῇ ἀντιλήψει.

Θεοτοκίον.

Τὴν τῆς προμήτορος ἀγνὴ, πτῶσιν θεραπεύεις τῷ τόκῳ, καὶ ἀπογόνους τὰς αὐτῆς, πρὸς τὴν πάλιν καὶ νίκην διήγειρας, τοῦ ἐκείνην πτερνίσαντος, ἁμαρτίας ἐνηδύνου φυγοῦσα γεῦσιν.

Ὠδὴ ἡ. Παῖδες εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ἵνα τῆς πατρίδος ἐπιτύχῃς, τῆς ἄνω τὴν κάτω Μῆτερ καταλέλοιπας, καὶ τοῖς μὴ προσήκουσι, ξένη ξένοις ἔκρινας, χριστομιμήτως πάντοτε συναναστρέφεσθαι, τὸν Κύριον ὑμνεῖτε δοῶσα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νοὶ καθαρῷ τε καὶ τελείῳ, τὸν μόνον ἐν τοῖς ἁγίοις παμμακάριστε, ἐπαναπαυόμενον, Κύριον ζητήσασα, καὶ τούτου μεθ' ἡμέραν τε καὶ νύκτωρ ἔνδοξε, ὁρῶσα τὸ ἀμήχανον κάλλος, ἔμελπες ὑμνεῖτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Νικᾶται καὶ πίπτει σοῖς ἀγῶσιν, ὁ πάλαι φυσῶν μεγάλα τύραννος, καὶ καταπεφρόνηται, ὁ γῆν καταλῆψεσθαι, μεγαλαυχῶν καὶ θάλασσαν· ὢ θείας χάριτος, τῆς σὲ ἐνισχυσάσης Ματρῶνα! ὢ προθέσεώς σου, καὶ γνώμης τῆς ἀτρέπτου!

Θεοτοκίον.

Ἰδοὺ σοι παρθένοι μέχρι τέλους, αἰῶνος ὦ Μητροπάρθενε ἐφέπονται, καὶ τῷ σῷ προσάγονται, τόκῳ Θεονύμφευτε, καὶ σὲ τὴν τούτου πρόξενον πόθῳ γεραίρουσι· μεθ' ὧν καὶ ἡ θεόφρων Ματρῶνα, πόνοις προσηνέχθη, ἀσκητικοῖς ἐκείνῳ.

Ὠδὴ θ'. Ἅπας γηγενής.

Κρήνη σὴ σορὸς καὶ τάφος γνωρίζεται θαυμάτων ἔνδοξε, καὶ τῶν ἰαμάτων δὲ, πηγὴ τυγχάνει, οὖσα ἀκένωτος, πρὸς ὃν οἱ καταφεύγοντες, παντοίων ῥύονται, νοσημάτων, εἰς δόξαν καὶ αἴνεσιν, τοῦ τὸ σὸν μεγαλύνοντος ὄνομα.

Ἤδη πρὸς αὐτὰ, τὰ ἄνω σκηνώματα μεταχωρήσασα, ὅπερ δι' ἐσόπτρου σοι, ὡρᾶτο πάλαι, καὶ ἐν αἰνίγματι, νῦν καθορᾷς τρανώτερον καὶ καθαρώτερον, πανολβία, ἤδη λελυμένων σοι, τῶν ἐσόπτρων τὸ κάλλος τοῦ κτίσαντος.

Τέλους οἷου σὺ, Ματρῶνα τετύχηκας, πλοῦτον συλλέξασα, ἐναρέτων πράξεων, ὡς ναῦς Ὁσία τις μυριάγωγος· καὶ ἐν λιμένι ῥθάσασα τῆς ἀναπαύσεως, προσωρμίσθης, ἐκ τῆς γῆς ἀπάρασα, ὡς ἐκ ζάλης φυγοῦσα καὶ κλύδωνος.

Ἄθλους σοὺς σεμνὴ, καὶ τὰ ὑπὲρ ἄνθρωπον θεῖα παλαίσματα, ἔγωγε τετόλμηκα, ὁ σὸς ἱκέτης, ἁγνὴ πανεύφημε, γλώσσῃ ῥυπώσῃ χείλεσι, βεβήλοις ἄσαι νῦν, ἀλλ' αὐτή μοι, σύγγνωθι καὶ δίδου μοι, συμπαθῶς τὰ τοῦ πόθου ἐπίχειρα.

Θεοτοκίον.

Στόμα τὸ ἐμὸν, αἰνέσεως πλήρωσον τῆς σῆς· ὦ Δέσποινα, καὶ ὡς ἄλλο δεῖξόν με, τὸν σὸν οἰκέτην, Ἁγνὴ ψαλτήριον, ἐπὶ τῆς γῆς δεκάχορδον, διπλῆς αἰσθήσεως, τῆς πεντάδος, τῇ καθάρσει ἵνα σε, μεγαλύνω ἀεὶ παναμώμητε.

Ἐξαποστειλάριον. Ἐπεσκέψατο ἡμᾶς.

Τῆς ψυχῆς τὸ τριμερὲς, εἰς ἀπαθείας ἄβυσσον, κατέδυσας ὦ Ματρῶνα, καὶ ἀβρόχως τῆς ζωῆς, διαγαγοῦσα πέλαγος, πρὸς γῆν τῆς ἐπαγγελίας, τῆς ἄνω κατήντησας:

Θεοτοκίον.

Ἀκρασίας τῷ καρπῷ, ὁ ὄφις δελεάζων με, ἡδοναῖς θέλγει τοῦ βίου, καὶ παραβάτην ἐντολῶν, τῶν θείων ἀπεργάζεται, ἀλλὰ σὺ τῷ Θεῷ με, Παρθένε κατάλλαξον.

Εἰς τοὺς Αἴνους. Ἦχος πλ. Δ.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος! πῶς καὶ γυναῖκες ἁρρύν, τοῦ μεγάλα αὐχήσαντος, καθαιροῦσιν ὄφεως! πῶς ἰσχὺν ἐνεδύσατο, τὴν κατ' ἐκείνου, τὸ ἀσθενέστατον, τῷ ὄντι φῦλον! πῶς εἰς ἀγῶνας χωρεῖ, τοὺς ὑπὲρ ἄνθρωπον, ἡ τὸ πρὶν εὐόλισθος, φύσις! διὸ, Χριστὸν μεγαλύνομεν, τὸν τούτου πρόξενον.

Ὦ τῆς γενναίας ἐνστάσεως, καὶ παλαισμάτων τῶν σῶν, ὦ Ματρῶνα θεόληπτε, δι' ὧν ἐκνικήσασα, τὴν δαιμόνων καράταξιν, τὸ κατ' ἐκείνων ἔστησας τρόπαιον, καὶ στεφανῖτις ὤφθης ἀναίμακτος, τῆς προαιρέσεως, τὸ σεπτὸν μαρτύριον διὰ παντὸς, ὑπελθοῦσα πάνσοφε, στερρῶς τοῦ βίου σου.

Στύλον πυρὸς προηγούμενον, θεοφιλέσι ψυχαῖς, πρὸς οὐράνιον ἄνοδον, σὲ καλοῦμεν ἔνδοξε, καὶ νεφέλην σκιάζουσαν, τῶν πρεσβειῶν σου νοτίσι καύσωνα, παθῶν παντοίων ἐναπελαύνουσαν, ἄγαλμα ἔμψυχον, καὶ σεπτὸν κειμήλιον καὶ ἱερὸν, τοῖς πιστοῖς θησαύρισμα, Μῆτερ ἀείμνηστε.

Σὲ ὅλβον ἔσχεν ἀσύλητον, ἡ σὴ Ματρῶνα πατρὶς καὶ σεπτὸν, ἀγαλλίαμα, καὶ λιμένα ἄκλυστον, καὶ στερρὸν περιτείχισμα, καὶ κατ' ἐχθροῦ παντὸς ἀμυντήριον, ψυχῆς καὶ σώματος φυλακτήριον, ἣν καὶ περίσωζε, διὰ τέλους πάνσεμνε, ταῖς σαῖς εὐχαῖς, πᾶν τὸ πρὸς ἐπήρειαν, ἀποτειχίζουσα.

Δόξα, ἦχος πλ. δ'.

Ἀσμασί τε καὶ κρότοις, ἐπὶ γῆς σεμνὴ ἡμᾶς τοὺς σὲ γεραίροντας, ἄμειψαι οὐρανόθεν Ὁσία, ἐκμειλίσσουσα τὸν Δεσπότην ἡμῖν· τῶν πταισμάτων τὴν λύσιν πρυτανεύουσα· καὶ τὰς ἐναντίας περιστάσεις ἐναπείργουσα, ἵνα ἤρεμον ἐπὶ γῆς διοῦντες βίον, ἐν εἰρήνῃ τὸν σὲ ἐν δόξῃ στέψαντα Χριστὸν, μεγαλύνωμεν.

Καὶ νῦν, Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, τὰ τυπικά· καὶ ἐκ τοῦ Κανόνος τῆς Ὁσίας, ᾠδὴ γ'. καὶ ς'. Ὁ Ἀπόστολος. Προκείμενον. Ἦχος δ'. Ὑπομένων ὑπέμεινα τὸν Κύριον. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Πρὸς Κορινθίους δ'. Ἐπιστολῆς Παύλου, τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, ὄφελον ἀνείχεσθέ μοι μικρόν τε τῆς ἀφροσύνης· ἀλλὰ καὶ ἀνέσχεθέ μου· ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ· ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ Παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ· φοβοῦμαι δὲ μήπως, ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν. Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει ὃν οὐκ ἐκηρύξαμεν· ἢ πνεῦμα ἕτερον λαμβάνετε ὃ οὐκ ἐλάβετε· ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε· καλῶς ἠνείχεσθε. Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν Ἀποστόλων· εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει· ἀλλ' ἐν παντὶ φανερωθέντες ἐν ἐν πᾶσιν εἰς ὑμᾶς.

Ἀλληλούϊα.

Εὐαγγέλιον. Τῶν δέκα Παρθένων.

Μεγαλυνάρια τῆς Ὁσίας.

Χαίροις ὦ Ματρῶνα, Νύμφη Χριστοῦ, χαίροις τῶν παρθένων, τῶν φρονίμων ἡ εὐκλεὴς, προσθήκη Ὁσία, ἡ ἐν φαιδρᾷ λαμπάδι, Χριστῷ προσυπαντήσασα τῷ Νυμφίῳ σου.

Χαίροις ὁ τῆς Χίου, θεῖος θλατός. Χαίροις τυφλωτόντων, βακτηρία καὶ ἰατρός. Χαίροις ἡ τὴν Νῆσον τῆς Χίου ῥυσαμένη, τῶν ἀντιμαχομένων, Ματρῶνα ἔνδοξε.

Κατὰ τὸ ᾳψνδ'. ἔτος ἀπὸ Χριστοῦ 1754.

ΕΜΑΡΤΥΡΗΣΕΝ ΕΝ ΤΗ ΧΙΩ Ο ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΝΙΚΟΛΑΟΣ Ο ΝΕΟΣ.

Τῇ λά. τοῦ Ὀκτωβρίου Μηνός.

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΝΙΚΟΛΑΟΥ.

Πονηθεῖσα παρὰ Νικηφόρου Ἱεροδιακόνου.

Τῇ λά. τοῦ Ὀκτωβρίου μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Νικολάου τοῦ Χίου.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν ς'. δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε διεδόθη περὶ σοῦ, φήμη πονηρὰ ἀσεβείας, θεόφρον Μάρτυς Χριστοῦ, τότε σὲ ἀπέβαλον, ἐκ τοῦ ναοῦ τοῦ Θεοῦ, οἱ πιστοὶ σὺ δὲ δάκρυσι, θερμοῖς ἐκ καρδίας, βρέχων ἧς τὸ πρόσωπον, μετὰ πικρᾶς οἰμωγῆς, κράζων παναοίδιμε πίστιν, τὴν πρὸς τὸν Χριστόν μου τὴν θείαν, ἀδελφοί οὐδέποτε ἐξώμοσα.

Δίς.

Ὅτε συνελήφθης ταῖς χαιρσὶ, τῶν ἀνόμων Μάρτυς Κυρίου, οἳ ἀγαγόντες σπουδῇ, δέσμιον παρέστησαν, κρίσει ἀδίκων κριτῶν, θαρσαλέως ἐκήρυξας Θεόν τε καὶ κτίστην, πάντων ὁρατῶν ὁμοῦ, καὶ ἀοράτων Χριστόν. Ὅθεν τῇ εἱρκτῇ παρεδόθης, καὶ ταῖς ἐν αὐτῇ τιμωρίαις, θείαν παῤῥησίαν ἐνδειξάμενος.

Ὅλον ἐγκρατείᾳ τὸ σεπτὸν, στάδιον τοῦ σοῦ Μαρτυρίου, διῆλθες πόθῳ Χριστοῦ, τὸ τριακονθήμερον, ἀδιαλείπτοις εὐχαῖς, καὶ δακρύοις ἐκχύσεσι, θερμῶς ἱκετεύων, τοῦ καταπεμφθῆναί σοι, θείαν ἐξ ὕψους ἰσχύν, ὅπως τὸν ἀγῶνα τελέσῃς, καὶ τὰς τῶν δαιμόνων ὀλέσῃς, φάλαγγας τοῖς ἄθλοις σου Νικόλαε. Δόξα, ἦχος, ά.

Τὸν νέον ἀθλητὴν, καὶ Μάρτυρα Κυρίου, τὸν τῆς νίκης ἐπώνυμον Νικόλαον, δεῦτε ἐνθέοις ἄσμασιν ὑμνήσωμεν· οὗτος γὰρ διὰ παντοίων βασάνων, ὡς χρυσὸς ἐν χωνευτηρίῳ δοκιμασθείς, δόκιμος ἀνεφάνη· καὶ τοῦ Χριστοῦ θεράπων πιστότατος, καὶ φίλος γνησιώτατος, ὑπὲρ αὐτοῦ ἀποθανών· ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, σωθῆναι τοὺς τιμῶντας τὴν ἱερὰν αὐτοῦ ἄθλησιν.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παροῤῥῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν στίχον, στιχηρὰ ἦχος δ'. Οἶκος τοῦ Εὐφραθᾶ.

Λάβε μοι κατὰ νοῦν, τὸν Μάρτυρα Κυρίου, τοὺς πόδας ἐν τῷ ξύλῳ, ἔχοντα καὶ ἁλύσεις, ἐν τῷ τραχήλῳ φέροντα.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Καὶ ἥλοις ἐν ταὐτῷ, ἐφηπλωμένον ὅλον, καὶ πλάκα βαρυτάτην, ἔχοντα ἐν τῷ στήθει, καὶ πάντα ὑπομένοντα.

Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Ἐν τόπῳ ζοφερῷ, ἄσιτον ὄντα ὅλως, τριήμερον καὶ ἵππων, ποσὶν ὑπερῤῥιμμένον, χεῖρας καὶ πόδας δέσμιον.

Δόξα. Ὅμοιον.

Πόθῳ τῆς τριλαμποῦς, θεότητος τὴν πεῖραν, βασάνων ἀνυποίστων, ὑπέμεινεν ὁ θεῖος, δι' ὃ θέσει τεθέωται.

Καὶ νῦν. Ὅμοιον.

Πανάχραντε ἁγνὴ, ἅμα τῷ Νικολάῳ, τῷ καρατομηθέντι, ἐν Χίου τῇ πλατείᾳ, ὑπὲρ ἡμῶν ἱκέτευε.

Ἀπολυτίκιον ἦχος γ'. Μέγαν εὗρατο.

Μέγα καύχημα τῆς Χίου πέλεις, ἀξιάγαστε τῆς σῆς πατρίδος, ἀθλοφόρε Χριστοῦ γενναιότατε· ὡς οὖν ἐν ταύτῃ τὸ αἷμα ἐξέχεας, καὶ μακαρίαν εἰργάσω Νικόλαε, οὕτως Ἅγιε αὐτὴν ἀσινῆ περίσωζε, ταῖς σαῖς πρὸς τὸν Κύριον δεήσεσι.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν. Καὶ Ἀπόλυσις.

Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ἡ. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια ἦχος, πλ. δ'.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος, ὅτι καὶ νῦν καθ' ἡμᾶς, ῥωμαλέῳ φρονήματι, ὁ κλεινὸς Νικόλαος, ὑπὲρ πίστεως ἠθλησεν, ἐγκαρτερήσας τριακονθήμερον, ἐν ταῖς βασάνοις, καὶ νίκην ἤρατο, σθένει τοῦ Πνεύματος, ἐχθροὺς τροπωσάμενος πάντας ὁμοῦ, καὶ στέφος δεξάμενος τῆς νίκης ἄφθαρτον. Δίς.

Πάντως ἡ θεία τεθαύμασται, πίστις Χριστοῦ τοῦ Θεοῦ, καὶ τιμὴν ἐκομίσατο, τὴν αὐτῇ προσήκουσαν, Νικολάου ἀθλήσαντος, καὶ τοῦ Κυρίου τὸ θεῖον ὄνομα, ὑψώθη μόνον τὸ ὑπερύμνητον, καὶ καταβέβληται, ἐχθρὸς ὁ ἀρχέκακος τῇ συμπλοκῇ, τούτου καὶ κατήργηται ὁ πολυμήχανος. Δίς.

Μάρτυς Χριστοῦ πανοσίμε, τὴν τῶν τυράννων ὀφρὺν, καὶ τὸ θράσος κατέβαλες τοῦ κοινοῦ ἀλάστορος, ἐναθλήσας στερρότατα, καθυπομείνας τῷ θείῳ ἔρωτι, πολλὰς βασάνους, καὶ τέλος θάνατον· ξίφει τὴν πάντιμον, ἐκτμηθεὶς Νικόλαε κάραν τὴν σὴν, ἣ καὶ μετὰ θάνατον κάλλει δεδόξασται. Δίς.

Σκότος ἐφ' ὅλην ἐπέπεσε, τὴν νῆσον Μαρτυς Χριστοῦ, καὶ τοὺς πάντας ἔζέπληξε τὸ φρικτὸν τοῦ θαύματος, τοῦ Θεοῦ σε δοξάσαντος, καθ' ἣν ἡμέραν, τὴν σὴν ἀπέτεμον, τιμίαν κάραν, οἱ σκότους ἔμπλεοι, Ἄγαρ ἀπόγονοι, τὸν δὲ νοῦν σκοτούμενον πλάνῃ δεινῇ, ἔχοντες οἱ δείλαιοι οὐκ ἐπησθάνοντο.

Νέε ἀθλητὰ Νικόλαε, ὡς κεκτημένος πολλὴν, παῤῥησίαν πρὸς Κύριον, ὑπὲρ οὗ ἠγώνησαι, καὶ γενναίως ἐνήθλησας, εἱρκτὴν ἀλύσεις, πλακὸς βαρύτητα, ξύλου τε θλῖψιν, ἥλων ἀξύτητα, ἵππων συγκάρθειρξιν, ἀσιτίαν θάνατον ὑπενεγκών, ἴλεων ἀπέργασαι, ἡμῖν τοῖς δούλοις σου.

Δόξα, ἦχος πλ. δ'.

Τίς μὴ εὐφημήσει σε ἀθλοφόρε Κυρίου; τίς μὴ ἀνυμνήσει σου τὴν λαμπρὰν μαρτυρίαν; τὸν μὲν γὰρ πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα λόγον καὶ Θεὸν, φύσει Θεὸν ὄντα, καὶ ἐπ' ἐσχάτων φύσει γενόμενον ἄνθρωπον, τρανῶς ἀνεκήρυξας· τὸν δὲ τῆς πλάνης ἀρχηγέτην, ὡς ἀπατεῶνα, καὶ πάσης ἀθεμιτουργίας ἐφευρετὴν, θαρσαλέως καθύβρισας. Δι' ὃ καὶ ἀνεδέδας, Χριστὸν σέβομαι, Χριστῷ λατρεύω, καὶ τὰ πάντα προδίδωμι, ἵνα Χριστὸν κερδήσω. Ἀλλ' ὡς νῦν πρὸς αὐτὸν ἀθλητικῇ παριστάμενος παῤῥησίᾳ, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Τὶς μὴ μακαρίσει σε. Εἴσοδος. Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα τοῦ Ἁγίου Γεωργίου.

Εἰς τὴν λιτὴν ἰδιόμελα, ἦχος, ά.

Πνευματικοῖς ᾄσμασι λαοὶ, τὸν φερώνυμον νίκην τοῦ εὐσεβοῦς λαοῦ γεγονότα, Νικόλαον τὸν νέον τοῦ Χριστοῦ Μεγαλομάρτυρα, τιμήσωμεν σήμερον· ἡ γὰρ πρὸς τοῦτον τιμή τε καὶ εὔνοια, ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν δεσπότην εὐνοίας, ὑπὲρ οὗ τὸ αἷμα μετὰ πολλὰς καὶ ἀνυποίστους βασάνους ἐξέχεε. Μακαρίσωμεν οὖν αὐτὸν γνησίως, ἵνα καὶ ἡμεῖς Μάρτυρες τῇ προαιρέσει γενώμεθα, καὶ τῶν αὐτῶν ἐκείνῳ ἀξιωθῶμεν μισθῶν, παρὰ Χριστοῦ, τοῦ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ἦχος, β'.

Μέγας εἶ Κύριε καὶ θαυμαστὸς ἐν τοῖς ἔργοις σου, ὅτι καὶ ἐν τοῖς καθ' ἡμᾶς αἰῶσι, νέον κομιδῇ ὄντα τὸν θεῖον Νικόλαον, πρὸς τοὺς Μαρτυρικοὺς ἀγῶνας ἐνίσχυσας· ὅθεν τῇ σῇ ῥωννύμενος θείᾳ δυνάμει, ἐν εἱρκτῇ φρουρούμενος, καὶ ἐν ξύλῳ κακουχούμενος, ἀλύσεσί τε δεσμούμενος, καὶ πλάκα ἐπὶ τοῦ στήθους φέρων, τὸ σὸν Πανάγιον διαπρυσίως ἐκήρυττεν ὄνομα, τὴν δὲ τῶν ἀθέων ἀγαρηνῶν πλάνην, ἀπτοήτως ἐξήλεγχεν· ἀφ' ὧν τὴν κάραν ἀποτμηθεὶς, τὸν Μαρτυρίου δρόμον διήνυσε, καὶ ταῖς τῶν Μαρτύρων χορείαις ἐπαξίως συνήφθη, πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Ἦχος, γ'.

Ἀντὶ μὲν τῆς εἱρκτῆς, καὶ ἀσιτίας ἣν ὑπέστης, ἡ τρυφή σοι τοῦ παραδείσου δεδώρηται· ἀντὶ δὲ τῆς μεθ' ἵππων συγκλείσεως, ἡ μετ' Ἀγγέλων διαγωγὴ, Μεγαλομάρτυς Νικόλαε· ἱκέτευε οὖν Χριστὸν τὸν Θεὸν, ἵνα καὶ ἡμᾶς τοῦ ζόφου καὶ τῆς ἀλογίας τῶν παθῶν ἀπαλλάξας, ἐν ἔργοις φωτὸς, καὶ ἀπαθείας ἀνέσει, τὸ ὑπόλοιπον τῆς ζωῆς ἡμῶν διανύσαι καταξιώσῃ, τοὺς ἐκ πόθου τὴν μνήμην τελοῦντάς σου.

Ἦχος δ'.

Μέγα καὶ παράδοξον θαῦμα, Μάρτυς Νικόλαε γέγονεν, ἡνίκα σου τὴν πάντιμον οἱ δυσσεβεῖς ἀπέτεμον κάραν· ὁ γὰρ Θεὸς τὴν σὺν ἄθλησιν δοξάσαι βουλόμενος, ὃν τοῖς ἄθλοις σου ἐδόξασας, ζόφῳ βαθυτάτῳ τὴν νῆσον πᾶσαν, ὡς τὸ πάλαι τὴν Αἴγυπτον ἐκάλυψε, τὸ δὲ πανίερόν σου πρόσωπον, νεκρὸν ἤδη, κάλλει ἀῤῥήτῳ κατελάμπρυνε. Δηλῶν ὅτι σὺ μὲν εἰς φῶς ἀνέσπερον καὶ ἄδυτον ἀπῆλθες, ἐκεῖνοι δὲ ἐν τῷ σκότει τῆς ἀσεβείας, καὶ τῇ δεινῇ τοῦ δαίμονος πλάνῃ, ἀβλίως μένουσιν. Ἀλλ' ὡς μαρτυρικὴν κεκτημένος πρὸς τὸν Χριστὸν παῤῥησίαν, θραῦσον αὐτῶν τὰ καθ' ἡμῶν φρυάγματα ταῖς πρεσβείαις σου.

Δόξα, ἦχος πλ. ά.

Δεῦτε Χριστοφόροι τῆς Χίου λαοὶ, πόθῳ συνελθόντες τιμήσωμεν ἀξίως, Νικόλαον τὸν νέον ἀθλοφόρον Χριστοῦ, καὶ εὐφημιῶν στέμασι τοῦτον ἀναδήσωμεν· τὸν νικηφόρον ἀθλητὴν, καὶ τῆς πλάνης ὁλοθρευτὴν ἀναδειχθέντα· τὸν μὴ πτοηθέντα τοὺς ἀποκτείναντας τὸ σῶμα αὐτοῦ τυράννους, ἀλλὰ παῤῥησίᾳ ἀκαταπλήκτῳ, τὸν Χριστὸν Θεὸν τοῦ παντὸς κηρύξαντα, καὶ τῷ οἰκείῳ αἵματι τὴν ὁμολογίαν τῆς αὐτοῦ πίστεως βεβαιώσαντα· πάντες οὖν ἀνυμνοῦντες αὐτὸν, βοήσωμεν. Μαρτύρων ἐγκαλλώπισμα Νικόλαε, τὸ περικαλλὲς τῆς Χίου ἀνάθημα, ἡ πρὸς Θεὸν προσφορὰ καὶ θυσία εὐσπρόδεκτος, μὴ ἐλλίπης φυλάττων τὴν σὲ μεγαλύνουσαν πόλιν, ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Μαρίζομέν σε.

Εἰς τὸν στίχ. στιχηρὰ ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Νῦν ἡ Χίος ἀγάλλεται, καὶ ἐνθέως εὐφραίνεται, ὡς πανηγυρίζουσα τὴν σὴν ἄθλησιν, Μεγαλομάρτυς Νικόλαε, καὶ λίαν σεμνύνεται, σὲ ἐλαστήσασα φυτὸν, εὐθαλὲς καὶ κατάκαρπον, τοῖς τοῦ πνεύματος, ἀκηράτοις καρποῖς καὶ δι' εὐφήμου, γλώττης ἄγει σου παμμάκαρ, τῆς ἀριστείας τὰ τρόπαια.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει

Ἐν εἱρκτῇ καὶ ἐν ξύλῳ σε, ἠσφαλήσαντο ἄνομοι, καὶ πλακὸς βαρύτητι, τὰ πανίερα, στέρνα σου Μάρτυς Νικόλαε, δεινῶς κατεβάρυναν, τὰ φλεγόμενα Χριστοῦ, τῇ ἀγάπῃ καὶ ἥλους σοι, καθυπέβαλον, ἀλλὰ θείᾳ δυνάμει διεσείσθη, ἡ εἱρκτὴ καὶ κατεβλήθη, ἡ πλὰξ ἡ σὲ ἐκπιέζουσα.

Πεφυτευμένος ἐν τῇ οἴκῳ Κυρίου.

Τοὺς ἐκ πόθου τελοῦντάς σου, τὴν σεβάσμιον ἄθλησιν, ἀθλητὰ Νικόλαε, φρούρει φύλαττε, ταῖς σαῖς εὐχαῖς πρὸς τὸν Κύριον, ᾧ μάκαρ παρίστασαι, σὺν Μαρτύρων τοῖς χοροῖς, ἐν μεθέξει θεούμενος, παναοίδιμε, ὡς τοῦ σώματος ὅλως ἀφειδήσας, τούτου χάριν καὶ ἐκχέας, αἷμα τὸ τίμιον ἅγιε.

Δόξα, ἦχος, πλ. δ'.

Τῶν εὐσεβῶν τὰ στίφη, τὸν νέον ἀθλητὴν σὲ ὑμνοῦμεν, μάκαρ Νικόλαε, διὰ σοῦ γὰρ πρὸς πίστιν τὴν ὄντως ἁγίαν, καλῶς στηριζόμεθα· τρισόλβιος εἶ ὑπὲρ αὐτῆς ἀθλήσας, καὶ ἐχθροῦ ταπεινώσας τὴν ἔπαρσιν. Καρυῶν τὸ γέννημα, τῆς Χίου ἁπάσης τὸ καύχημα, καὶ τῆς οἰκουμένης σεμνὸν ἀγαλλίαμα. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Ἀπολυτίκιον, ἦχος, γ'. Μέγα καύχημα.

Ζήτει εἰς τὸν μικρὸν ἑσπερινόν.

Δόξα καὶ νῦν Θεοτόκε Παρθένε. Καὶ Ἀπόλ.

Εἰς τὸν Ὄρθρον. Μετὰ δὲ τὸ Θεὸς Κύριος, τὸ Τροπάριον τοῦ Ἁγίου, καὶ νῦν Θεοτοκίον, καὶ ἡ συνήθης στιχολογία τοῦ Ψαλτηρίου. Μετὰ τὴν ά. στιχολογίαν. Κάθισμα· ἦχος ά. Τὸν τάφον σου σωτήρ.

Νικόλαον πιστοὶ εὐφημήσωμεν ὕμνοις, καὶ πόθῳ τὴν αὐτοῦ ἑορτάσωμεν μνήμην· τοὺς ἄθλους νῦν γεραίροντες, τοὺς ἀγῶνας τὰ σκάμματα, ἃ ὑπέμεινεν ὑπὲρ Χριστοῦ τῆς ἀγάπης, γενναιότατα, καὶ δι' αὐτὰ ταῖς χορείαις, Μαρτύρων συνήδεται.

Καὶ νῦν Θεοτοκίον.

Μητέρα σὲ Θεοῦ ἐπιστάμεθα πᾶντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὴν 6'. στιχ. Καθ. ἦχος, γ'.

Τὴν ὡραιότητα.

Ὡραιότητα σου, Μάρτυς Νικόλαε, καὶ γενναιότητος, μεθ' ἧς πανεύφημε, τοῦ Μαρτυρίου τοῖς φρικτοῖς ἀγῶσιν ἐγκαρτερήσας, τὸν Χριστὸν ἐκήρυξας, τῶν τυράννων ἐνώπιον, καὶ τοὺς Ἄγαρ ᾐσχυνας ἀπογόνους τοῖς λόγοις σου, ἐλέγχων αὐτοὺς ἐν παῤῥησίᾳ, θείᾳ δι' ὃ σε ἀνυμνοῦμεν.

Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνίας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἔβόα σοι Θεοτόκε, ποῖον σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ, καὶ ἐξίσταμαι· δι' ὃ ὡς προσετάγην βοῶ σοι, χαῖρε ἡ κεχαριτωμένη.

Μετὰ τὸν πολυέλεον. Καθ. ἦχος, δ'.

Ἐπεφάνης σήμερον.

Ἐπεφάνη σήμερον, τῷ σῷ προσώπῳ, θεία χάρις Ἅγιε, καὶ κατελάμπρυνεν αὐτὸ, κάλλους ἀῤῥήτου λαμπρότητι· προεκτμηθείσης τῷ ξίφει τῆς κάρας σου.

Δόξα, ἦχος, πλ. δ'. Τὸ προσταχθέν.

Ἀγαλλιάσθω οὐρανὸς γῆ εὐφραινέσθω, αἱ τῶν Ἀγγέλων σὺν Ἁγίων ταῖς χορείαις, καὶ ἀνθρώπων τὰ πλήθη ἐπὶ τῇ ἀθλήσει, τῇ θείᾳ τοῦ Νικολάου, τοῦ καρτερῶς, βασάνων παντοίων πεῖραν πόθῳ Χριστοῦ, καὶ ἐπώδυνον θάνατον, ὑπενεγκόντος ἐν γῇ, καὶ ταύτην ἁγιάσαντος, οὐρανὸν δὲ οἰκήσαντος.

Καὶ νῦν. Θεοτοκίον.

Εὐχαριστοῦμεν σοι ἀεὶ Θεοτόκε, καὶ μεγαλύνομεν ἁγνὴ καὶ προσκυνοῦμεν, ἀνυμνοῦντες τὸν τόκον σου κεχαριτωμένη· βοῶντες ἀκαταπαύστως σῶσον ἡμᾶς, Παρθένε παντελεῆμον ὡς ἀγαθὴ, καὶ δαιμόνων ἐξάρπασον, λογοθεσίου φοβεροῦ, ἐν ὥρᾳ τῆς ἑτάσεως, μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

Οἱ ἀναβαθμοί, τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἦχου.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει· στίχ. Περφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου. Πᾶσα πνοή. Εὐαγγέλιον ζήτει τοῦ Ἁγίου Δημητρίου, τῇ κς'. τοῦ Ὀκτωβρίου. ὁ Ν'. Δόξα ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ ἰδιόμελον.

Ἦχος πλ. 6'.

Χριστὲ τῶν Μαρτύρων τὸ κραταίωμα, ὁ καὶ τὸν Νεομάρτυρα Νικόλαον ἐνισχύσας, ὑπὲρ τοῦ σοῦ θείου ὀνόματος ἐναθλῆσαι, δώρησαι ἡμῖν ταῖς αὐτοῦ ἱκαισίαις τὸ μέγα σου ἔλεος.

Οἱ Κανόνες. Τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς ς'. καὶ τοῦ Ἁγίου οἱ Κανόνες ἀνὰ δ'. Κανὼν τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχὶς κατὰ Ἀλφάβητον, ἄνευ τῶν Θεοτοκίων.

Ὠδὴ ά. ἦχος, πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ἀναρχε λόγε, ταῖς τοῦ νέου Μάρτυρος, Ἀπανευπροσδέκτοις εὐχαῖς, τὸ νοερὸν στόμα τῆς καρδίας ἄνοιξον, καὶ χείλη μου τὰ ἔνυλα, ὅπως ᾄσμασι μέλψω, τὰς ἀριστείας τὰ τρόπαια, τούτου καὶ λαμπρὰ κατορθώματα.

Βάθος σοφίας καὶ κριμάτων ἄβυσσος, καὶ ὕψος γνώσεως σῆς, φιλάνθρωπε σῶτερ,

πάντα νοῦν ἐξέπληξε· πῶς τὸν ποτὲ μωραίνοντα, συνετὸν ἀπειργάσω, ἐχέφρονα καὶ θεόσοφον, Μάρτυρα τῆς θείας σου πίστεως.

Γνῶσίν μοι θείαν οὐρανόθεν Ἅγιε, δός μοι πρεσβείαις ταῖς σαῖς, ὅπως ἐπαξίως, πλέξω σοι τὸν Στέφανον, τοῖς ἐγκωμίων ἄνθεσιν καὶ τῶν ὕμνων τρισμάκαρ, ὡς τὸ φωτὶ ἐλλαμπόμενος, τῆς ἀπειροσόφου θεότητος.

Θεοτοκίον.

Ὡς Θεοῦ μήτηρ παῤῥησίαν ἔχουσα, πρὸς τὸν τεχθέντα ἐκ σοῦ, Μονογενῆ λόγον καὶ Πατρὶ συνάναρχον, καὶ συμφυῆ τῷ Πνεύματι, δυσωποῦσα μὴ παύσῃ, κινδύνων σῶσαι πανάμωμε, τοὺς σὲ Θεοτόκον δοξάζοντας.

Ἕτερος Κανών. Ὠδὴ, ά. ἦχος, δ'.

Θαλάσσης τὸ ἐρυθραῖον.

Τῇ αὐγῇ τῆς τριλαμποῦς θεότητος, περιλαμπόμενος, τροπαιοφόρε Μάρτυς τοῦ Χριστοῦ, σὺν Μαρτύρων τοῖς θείοις χοροῖς, εὐχαῖς σου καταφαίδρυνον, τὰς διανοίας τῶν ὑμνούντων σε.

Τοῖς ῥείθροις τῶν ἱερῶν αἱμάτων σου, Μάρτυς Νικόλαε, τὸν νοητὸν ἀπέπνιξας ἐχθρὸν, τῇ ἐνθέῳ δυνάμει Χριστοῦ, ὡς Φαραὼ τὸν τύραννον Μωσῆς τὸ πάλαι κατεβύθισε.

Στεφάνῳ μαρτυρικῷ κοσμούμενος, θεῖε Νικόλαε, καὶ πορφύρᾳ ἐξ αἵματος στολῇ, καλλυνόμενος Μάρτυς Χριστοῦ, γηθόμενος παρίστασαι, τῷ θείῳ θρόνῳ τοῦ παντάνακτος.

Θεοτοκίον.

Τὸν φύσει δημιουργὸν ἐκύησας, ἡμᾶς θεώσαντα, τῇ ὑπὲρ νοῦν ἑνώσει ἀληθῶς, Θεοτόκε πανύμνητε, ὃν ἐκτενῶς ἱκέτευε φωταγωγῆσαι τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Δεῦτε συνδράμωμεν πιστοί, καταμαθεῖν τοὺς ἀγῶνας, καὶ τοὺς ἄθλους τοῦ κλεινοῦ Νικολάου, τοῦ ἐκ Χίου καὶ ᾠδαῖς, τὴν θείαν αὐτοῦ ἄθλησιν, μετ' εὐλαβείας πλείστης, ἐπιτελέσωμεν ἅπαντες.

Ἐπιφανεῖσα ἡ σεμνὴ, καὶ Θεοτόκος Μαρία, ἀπελθεῖν σοι ἐνετείλατο Μάκαρ, καὶ ἰάσεως τυχεῖν, ἐκ τοῦ ἱερατεύοντος, ἐν τῷ ναῷ Κυρίου, τοῦ ποιητοῦ καὶ Υἱοῦ αὐτῆς.

Ζήλῳ τοῦ θείου βαπτιστοῦ, ἀποτμηθῆναι τὴν κάραν, δι' ἀγάπην τοῦ Σωτῆρος ἐπόθεις, οὗ τὴν θείαν ἐκτομὴν, χερσὶ κατέχων ἔκραζες, πρόδρομε Ἰωάννη, τῶν σῶν παθῶν κοινωνήσαιμι.

Θεοτοκίον.

Νενεκρωμένον μου τὸν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῆς ἐκ σοῦ φανερωθείσης τῷ Κόσμῳ, διανάστησον σὺλας, καὶ τύπους ἐξαλείφουσα, τῆς ἁμαρτίας μόνη, θεογεννῆτορ πανάμωμε.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Εὐφραίνονται οἱ λαοί, πνευματικῶς οἱ εὐσεβεῖς σήμερον, τοῖς ἱεροῖς μέλεσι, σὲ ἀνευφημοῦντες μακάριε.

Τὴν μνήμην τὴν ἱεράν, τὴν σῆς ἀθλήσεως πιστῶς ἄγοντες, ἁμαρτιῶν ἄφεσιν, διὰ σοῦ θεόθεν αἰτούμεθα.

Προΐστασο τῶν πιστῶν, τὴν σὴν τελούντων ἑορτὴν Ἅγιε, ταῖς σαῖς λιταῖς θλίψεων, καὶ δεινῶν παντοίων ῥυόμενος.

Θεοτοκίον.

Ἐσκήνωσεν ἐν ἡμῖν, ὁ ἐν ὑψίστοις κατοικῶν ἄχραντε, ἄνευ σποράς σάρκα γάρ, ἐκ σοῦ προσλαβὼν πεφανέρωται.

Κάθ. ἦχος πλ. ά. Τὸν συνάναρχον Λόγον.

Τοὺς ἀγῶνας ὁρθρίζοντες ἀνυμνοῦμέν σου, οὓς ὑπέστης γενναίως Μεγαλομάρτυς Χριστοῦ, ὑπὲρ τῆς πίστεως ἀθλῶν παναοίδιμε· ὅτι καθεῖλες δι' αὐτῶν τῶν τυράννων τὴν ὀῤῥὺν, καὶ θράση τὰ τῶν δαιμόνων, τὰ ἀσθενῆ θείᾳ ἰσχύϊ, καὶ στέφος τῆς ἀφθαρσίας εἴληφας.

Δόξα, καὶ νῦν, Θεοτκοίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σὲ, χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐνσαρκὶ τὸν ποιητήν σου καὶ Θεὸν, πρεσβεύουσα μὴ ἐλλείπης, ὑπὲρ τῶν ἀνυμνούντων καὶ προσκυνούντων τὸν τόκον σου.

Ὠδὴ δ'. Σύμου ἰσχὺς Κύριε.

Ἠθαυμαστὴ καὶ ἀξιάγαστος ἔνστασις, ἣν εὐθέως ἔδειξας Νικόλαε, ὅτε προσήχθης τοῖς δικασταῖς, ὑπὲρ τῆς πατρῴας θρησκείας Μάρτυς ἀήττητε, κατέπληξεν εἰκότως ἀσεβούντων τὰ πλήθη, τὰ δὲ τῶν εὐσεβῶν κατεθάῤῥυνε,

Θέσει Υἱὸς Πατρὸς ἀνάρχου γεγέννησαι, θεόφορε, ἅ τε μὴ δεξάμενος υἱοθεσίαν Ἀγαρηνῶν, καὶ χρημάτων δόσιν, οὐδὲ στολὴν τὴν πολύτιμον, ἀλλὰ περιφρονήσας, ὡς ἐχέφρων ἁπάντων εὐσεβείας τῷ πόθῳ φλεγόμενος.

Ἵνα ζωῆς τῆς αἰωνίου Νικόλαε, ἐπιτύχῃς, ζωὴν τὴν ἐπίκηρον οὐδὲν ἡγήσω πόθῳ Χριστοῦ, ὅθεν παῤῥησίᾳ, αὐτὸν κηρύξας ὑπέμεινας, αἰκίας ἀφορήτους, καὶ πληγὰς ἀνυποίστους, καὶ βασάνους παντοίας πολύαθλε.

Θεοτοκίον.

Διὰ παντὸς μὴ διαλίπῃς με σκέπουσα, σὲ γὰρ ἔχω μόνην καταφύγιον, ἐν πειρασμοῖς ὑπερασπιστήν, ῥῦστιν ἐν κινδύνοις, ἐν συμφοραῖς παραμύθιον, προστάτην ἐν ἀνάγκαις, εὐθυμίαν ἐν λύπαις, καὶ χαρὰν ἐν ταῖς θλίψεσι Δέσποινα.

Ἄλλος. Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία.

Συνελθόντες τοὺς ἀγῶνάς σου εὐφημοῦμεν, καὶ τὰ λαμπρά σου τρόπαια καὶ τὰς ἀριστείας, Μάρτυς ἀθλοφόρε Χριστοῦ, εἰκότως δοξάζον τες, τὸν σὲ ἐνισχύσαντα Κύριον.

Ἱκεσίαις σου Νικόλαε νικηφόρε, πρὸς τὸν Θεὸν περίσωζε, τοὺς ἀνευφημοῦντας, σοῦ τὴν θείαν μνήμην πιστούς, καὶ πόθῳ γεραίροντας, τοὺς ὑπὲρ Χριστοῦ θείους ἄθλους σου.

Ὡς τῷ θρόνῳ παριστάμενος τῆς Τριάδος, ἁμαρτιῶν τὴν ἄφεσιν ταῖς σαῖς ἱκεσίαις, αἴτησαι τοῖς σοῖς ὑμνηταῖς, παμμάκαρ Νικόλαε, τοῖς ἐπιτελοῦσι τὴν μνήμην σου.

Θεοτοκίον.

Νεουργεῖ τὴν ἀνθρωπότητα νέον βρέφος, ὁ πρὸ αἰώνων Κύριος ὀφθεὶς ἐκ παρθένου, καὶ βροτὸς γενόμενος αὐτῷ μελῳδήσωμεν, δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε. Ἵνα τί με ἀπώσω.

Κολαστήρια ξένα, Μάρτυς καὶ δεινότατα, κατεπενόησαν, τῆς σῆς καρτερίας, οἱ πλάνης προστάται θερμότατοι, ἥλους ὀξυτάτους, διαπαρέντας ἐν σανίδι, ὑπὸ νῶτόν σοι θεῖναι ὠμότατα.

Λαμπροί σου οἱ ἀγῶνες, καὶ τὰ τρόπαια Μάρτυς ἅπερ ἀνήγειρας, κατ' ἐχθρῶν ἁπάντων, ὁρατῶν ἀοράτων πανθαύμαστε, θείᾳ γὰρ δυνάμει, περιεγένου ἀμῳτέρων, καὶ τὴν τούτων ὀῤῥὺν καταβέβληκας.

Μὴ πτοηθεὶς τοὺς Ἄγαρ, ἀπογόνους παμμάκαρ τὸ θεῖον βάπτισμα, δέξασθαι καὶ πίστιν, τὴν Χριστώνυμόν τε καὶ σωτήριον, πρὸς αὐτοὺς ἐβόας, οἱ δὲ θυμοῦ ἀναπλησθέντες, βαρυτάτῳ σε λίθῳ ὑπέβαλον.

Θεοτοκίον.

Ἀληθῶ Θεοτόκον, πάντες σε κηρύττομεν, θεοχαρίτωτε, οἱ τῇ σῇ γεννήσει τῆς φθαρτῆς λυτρωθέντες γεννήσεως, καὶ πρὸς τὴν ἄμεινω πάλιν ζωὴν ἀνακληθέντες, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Σὺ ὅλην πρὸς Θεὸν, τὴν διάνοιαν ἔτεινας, Νικόλαε θεοφόρε, καὶ βασάνους ἀνδρείως, τῷ πόθῳ τούτῳ ἤνεγκας.

Ἀϊκίαις ἀφειδῶς, τοὺς σοὺς πόδας ἐκάκωσαν, Νικόλαε καὶ ἐν ξύλῳ, ἠσφαλίσαντο σὺ δὲ Θεὸν χαίρων ἐδόξαζες.

Ἥλους μὲν ἀθλητά, οἱ τῆς Ἄγαρ ἀπόγονοι, ὑπέστρωσαν τοῖς σοῖς νώτοις, τοῖς δὲ στέρνοις σου λίθον, ἐπέθηκαν βαρύτατον. Θεοτοκίον.

Ὁ λόγος τοῦ Θεοῦ, ὁ Πατρὶ ὁμοούσιος, σὸς γίνεται θεομῆτορ, ὑπὲρ νοῦν τε καὶ λόγον, υἱός σοι ὁμοούσιος.

Ὠδὴ ς'. Ἰλάσθητί μοι Σωτήρ.

Νύκτωρ σεισμὸς φοβερὸς, γενόμενος ἀπεκύλισεν, ὦ μέγα θαῦμα πιστοί· τὸν λίθον τὸν μέγιστον, ἐκ τοῦ θείου σώματος, καὶ διετηρήθη, ἀβλαβὴς ὁ παναοίδιμος.

Ξένα εἰσὶ καὶ φρικτά, Μεγαλομάρτυς Νικόλαε τὰ ἐπὶ σοὶ πρὸς Θεοῦ, γενόμενα θαύματα, δι' ὧν σε ἐρύσατο, λίθου βαρυτάτου, καὶ τῶν ἥλων τῆς κακώσεως.

Ὁξενοτρόπως ποτὲ, τὸν Δανιὴλ λυτρωσάμενος, ἐκ τῆς λεόντων ὁρμῆς, σὲ νῦν διετήρησεν ἀπήμαντον Ἅγιε, ἐκ παντὸς κινδύνου, καὶ τῶν ἵππων τῆς θρασύτητος.

Θεοτοκίον.

Λαμψάτω νῦν ἐπ' ἐμὲ, ἡ ἄφατος εὐσπλαγχνία σου, ὑθοῦ με ἁμαρτιῶν, καὶ τῆς ἀπογνώσεως, κόρη ἀπαλλάττουσα, καὶ πρὸς μετανοίας, τοὺς λιμένας ἐμβιβάζουσα.

Ἄλλος. Θύσω σοι μετὰ φωνῆς.

Ἔρωτι, τῆς πατρῴας θρησκείας ἐνήθλησας, ὑπενεγκὼν ἀθλοφόρε, τὰς βασάνους πάσας μεγαλοψύχως, καὶ τὸ στέφος παρὰ Θεοῦ ἐδέξω τὸ ἄφθαρτον.

Ἵππων σὲ, τοῖς ποσὶν ἐναπέῤῥιψαν δέσμιον, χεῖρας καὶ πόδας ἀλλ' ὅμως, θείᾳ βοηθείᾳ καὶ προμηθείᾳ, ἀβλαβὴς ἐτηρήθης τρισόλβιε.

Σύμφωνον, ἐκ ψυχῆς ἀναπέμπομεν Ἅγιε, αἶνον τῷ πάντων δεσπότῃ, τῷ ἐνδυναμώσαντι παραδόξως, σὲ θεόφρον, καρτερῶς ἐνεγκεῖν τὸ Μαρτύριον. Θεοτοκίον.

Κοίμισον, τῶν παθῶν τῆς σαρκός μου τὰ κύματα, τῇ ἀκοιμήτῳ σου κόρη, ἱκεσίᾳ δέομαι, καὶ μὴ δώῃς, ἁμαρτίας, ἀφυπνώσαι με ὕπνον βαρύτατον.

Κοντάκιον. ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Φερονύμως γέγονας, νίκη λαοῦ Ὀρθοδόξου, ἱερὲ Νικόλαε, ὑπὲρ Χριστοῦ ἐναθλήσας, ὅθεν σοι ἐν κατανύξει ψυχῆς βοῶμεν, δώρησαι ἡμῖν τὴν νίκην ταῖς σαῖς πρεσβείαις, κατ' ἐχθρῶν τῶν ὁρωμένων, καὶ ἀοράτων τοῖς σὲ τιμῶσι πιστῶς.

Ὁ Οἶκος.

Τίς σε ὦ νέε τοῦ Χριστοῦ στρατιῶτα, ἐπαξίως ὑμνήσει; τίς σου τὰς λαμπρὰς ἀριστείας, καὶ τὰ ἔνδοξα τρόπαια, προσφυῶς ἐπαινέσει; οὐ γὰρ κραταιόφρον, καὶ καλλίνικε ἀθλητά, τριακονθήμερον ταῖς βασάνοις ἐγκαρτερήσας, ἐν πολλοῖς καὶ πικροῖς αἰκισμοῖς, ἐν φυλακαῖς, ἐν ξύλῳ τοὺς πόδας

θλιβόμενος, ἥλοις ὀξυτάτοις ἐφαπλούμενος, καὶ πλακὸς βαρύτητα ἐπὶ τοῦ στήθους καὶ τῆς κοιλίας φέρων, καὶ τοὺς ἵππων δέσμιον χεῖράς τε καὶ πόδας ὑποριπτόμενος ποσί, τὸν δρόμον τοῦ σεπτοῦ Μαρτυρίου τετέλεκας, τὴν πρὸς Χριστὸν τὸν Θεὸν πίστιν τετήρηκας· καὶ παῤ' αὐτοῦ στέφος ἀπείληφας ἄφθαρτον· δι' ὃ μαρτυρικὴν παῤῥησίαν ἔχων πρὸς αὐτὸν, αἴτησαι ἡμῖν τὴν κατ' ἐχθρῶν ὁρωμένων τε καὶ ἀοράτων νίκην, ταῖς αὐτοῦ θείαις πρεσβείαις, τοῖς σὲ τιμῶσι πιστῶς.

Ἕτερον Κοντάκιον. πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τοὺς τὴν σὴν ἄθλησιν Νικόλαε γεραίροντας, καὶ προσκυνοῦντάς σου πιστῶς τὸ θεῖον λείψανον, διατήρει σαῖς πρεσβείαις ἐκ πάσης βλάβης, ἅτε ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον, ὑπὲρ οὗ στερῤῥῶς ἐνήθλησας πανεύφημε, καὶ ἀπείληφας Μαρτυρίου τὸν Στέφανον.

Τῷ αὐτῷ μηνὶ τριακοστῇ πρώτῃ, μνήμη τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Νικολάου τοῦ νέου τοῦ ἐκ τῆς Νήσου Χίου.

» Νίκης τὰ λαμπρὰ Νικόλαε βραβεῖα.
» Πρὸς Χριστοῦ ἀπείληφας στερῤῥὸς ἀθλήσας.
» Τριακοστῇ ἐν πρώτῃ κάραν ἐκτμηθείς.

Οὗτος ὁ νέος Μάρτυς τοῦ Χριστοῦ Νικόλαος, ἦτον ἀπὸ τὴν περίφημον νῆσον Χίον, ἀπὸ χωρίον Καρυαῖς λεγόμενον, Χριστιανὸς ἄνωθεν ἀπὸ γονεῖς καὶ προγόνους· καὶ ὁ μὲν πατὴρ αὐτοῦ ὠνομάζετο Πέτρος, ἡ δὲ μήτηρ του Σταματοῦ· καὶ ὄχι μόνον ἦτον αὐτὸς Χριστιανὸς, κατὰ τὴν ἀκολουθίαν τοῦ γένους, ἀλλὰ ἦτον μάλιστα Χριστιανὸς καὶ κατὰ τὰ χριστιανικὰ ἤθη, ἐκ νεαρᾶς του ἡλικίας· εὐλαβὴς δηλονότι εἰς τὰ θεῖα, ταπεινὸς εἰς ὅλους, σεμνὸς εἰς τὴν συναναστροφήν του, ἐγκρατὴς εἰς τὴν γλῶσσαν τόσον, ὥστε ὁποῦ βλασφημία, οὔτε κἄμμία ἄλλη κακολογία, δὲν ἠκούετο ποτὲ ἀπὸ τὸ στόμα του· καὶ ἐπάνω εἰς ὅλα ἡ ἁπλότης καὶ ἡ ἀκακία ὁποῦ εἶχε, προσέτι καὶ ἡ ὑπο-

μονὴ, ἀπὸ ὅλους ἐθαυμάζετο, καὶ ἐπαινεῖτο· καὶ σχεδὸν ἦτον ἐστολισμένος ὁ Μακάριος ἐκ νεότητός του μὲ ὅλα ἐκεῖνα τὰ καλὰ, καὶ τὰς χάριτας, ὁποῦ ἀναγινώσκομεν διὰ τοὺς παλαιοὺς Ἁγίους, ὅτι τοὺς ἐπροφανέρωναν ὡσὰν τί λογῆς ἄνθρωποι ἔμελλαν νὰ καταστα θοῦν εἰς τὸ ὕστερον. Ἐπειδὴ καὶ ἡ ἁπλότης ἐκείνη, καὶ ἡ ἀκακία ὁποῦ εἶχε, δὲν ἦτον εὐήθεια, καὶ ἀνοησία, καθὼς συμβαίνει πολλάκις εἰς πολλοὺς, ἀλλὰ ἦτον ἀγαθότης ἀληθινὴ, καὶ καλωσύνη· ἁπλότης δηλαδὴ, ἐναντία τῆς δολιότητος, καὶ ἀκακία ἐναντία τῆς πονηρίας, καὶ ἀκολούθως ἦτον ἀρετὴ θεάρεστος· τοιοῦτος ἦτον, Χριστιανοὶ, ὁ θεῖος Νικόλαος ἀκόμα ἀπὸ τὰς ἀρχάς του, καὶ μὲ ὅλον ὁποῦ ἀνετράφη ὁ εὐλογημένος ὀρφανὸς χωρὶς προστασίαν, καὶ παίδευσιν πατρός.

Τί δὲ τὰ μετὰ ταῦτα; ἀφ' οὗ πλέον ἔφθασεν ἕως εἴκοσι χρόνων ἡλικίαν, ἐσυμφώνησε μὲ ἕνα ἄνθρωπον τοῦ αὐτοῦ χωρίου, Φραγκούλην ὀνομαζόμενον, καὶ ἀπελθόντες εἰς Μαγνησίαν, ἐδούλευον τὴν κτιστικὴν τέχνην, ὁ δὲ Νικόλαος ὅσον ηὔξανε κατὰ τὴν ἡλικίαν, τόσον ἐπρόκοπτε καὶ κατὰ τὰ προειρημένα καλά. Ἀλλὰ διὰ νὰ παραδράμω τὰ ἄλλα, ἕνα μόνον ἀναφέρω, καὶ ἐξ αὐτοῦ δύναται νὰ καταλάβῃ καθ' ἕνας καὶ τὰ ἄλλα· ἀκρίδα ἔπεσε καὶ ἐπνίγη εἰς τὸν τόπον ὁποῦ διέτριβον· καὶ ἕνας τῆς συντροφίας των, Ἰωάννης ὀνομαζόμενος, Χῖος καὶ αὐτὸς, ἠξεύροντας τὴν διάθεσίν του, ἔλκυεν ἐξ αὐτῶν τῶν πνιγμένων ἀκρίδων, καὶ ἔτριβεν εἰς τὸ πρόσωπόν του, διὰ νὰ τὸν δοκιμάσῃ ἐὰν θυμώσῃ, καὶ εἰπῇ πρὸς αὐτὸν κἀνένα σκληρὸν, ἢ ἄπρεπον λόγον, καὶ αὐτὸς τόσην ὑπομονὴν ἔδειξεν, ὥστε ὁποῦ δὲν ἄνοιξε τὸ στόμα του νὰ εἰπῇ οὐδὲ τίποτε. Ἀλλ' ὁ τοιοῦτος ἀγαθὸς, καὶ χαριτωμένος νέος κρίμασιν οἷς οἶδε Κύριος, ἐξύπνισε μίαν τῶν ἡμερῶν ἔξω φρενῶν, χωρὶς κἀμμίαν φαινομένην αἰτίαν, ἀλλὰ καὶ μὲ ὅλον ὁποῦ ἐπάραφρόνησε, καὶ εὐγῆκεν ἀπὸ τὸν νοῦν του, πάλιν δὲν ἔκαμεν ἔργα ἀφροσύνης, καὶ τρέλας· τόσον μόνον ἐφαίνετο ὡσὰν παραλογιασμένος, καὶ σαστισμένος. Βλέποντές τον λοιπὸν οἱ ἀγαρηνοὶ ὡραῖον, καὶ εἰς τοιαύτην κατάστασιν, τὸν ἐπαρακινοῦσαν νὰ τουρκεύσῃ, καὶ αὐτὸς μὴν ἔχοντας τὸν λογισμὸν ὑγιῆ, ἠκολούθησεν εἰς αὐτοὺς καὶ χωρὶς μεγάλην βίαν· ὅθεν φέρνοντές τον αὐτοὶ μὲ προθυμίαν μεγάλην, καὶ ζῆλον πολὺν, τὸν ἐπαράστησαν εἰς τοὺς ἀρχηγούς των, λέγοντες πρὸς αὐτοὺς, ὅτι οὗτος ὁ νέος, ζητεῖ νὰ τουρκίσῃ· καὶ ἐκεῖ πάλιν ἐρωτώμενος ἐὰν θέλῃ νὰ τουρκεύσῃ ἐσιώπα, ὡσὰν νὰ μὴν αἰσθάνετο, καὶ νὰ μὴν ἤκουε τί τοῦ ἔλεγαν, καὶ λοιπὸν ἀγανακτήσαντες ἐξ αἰτίας τοιαύτης, αὐτὸν μὲν ὡς τρελὸν δέρνοντες τὸν ἐδίωξαν ἐκεῖθεν, ἐκείνους δὲ ὁποῦ τὸν ἐπρόσφεραν τοὺς ἤλεγξαν καὶ ὠνείδισαν, διὰ τί τοὺς ἔφεραν ἐκεῖ τοιοῦτον ἄνθρωπον.

Ὕστερον δὲ ἀπὸ τοῦτο φοβηθέντες οἱ ἄλλοι του συμπατριῶται νὰ μὴν πάθῃ κἀνένα κίνδυνον ψυχικὸν, τὸν ἔφεραν εἰς τὴν Χίον εἰς τὴν ἀδελφήν του Δεσπινοῦ καλουμένην, διηγούμενοι πρὸς αὐτὴν, καὶ τὰ ἐν τῇ Μαγνησία γενόμενα· αὐτὴ ὅμως ὡ καὶ τί νὰ εἰπῶ εἰς τὴν ἀφροσύνην της· δὲν τὰ ἐφύλαξε μυστικὰ, καὶ διὰ τοῦτο μετ' ὀλίγον ἔφθασεν εἰς τοὺς ἀγάδες τῆς Χίου ἡ κακὴ φήμη, ὅτι δηλαδὴ ἐτούρκισεν εἰς τὴν Ἀνατολήν· καὶ τότε βέβαια ἐκινδύνευσε νὰ πάθῃ τὸ ναυάγιον μέσα εἰς τὸν λιμένα ὁ εὐλογημένος Νικόλαος· ὅστις πρὸ ὀλίγου εἶχε γλυτώσῃ ἀπὸ τὸ πέλαγος τῆς Μαγνησιακῆς ἀσεβείας· τότε λέγω μαθόντες οἱ ἀγάδες τὰ περὶ τοῦ Νικολάου καὶ πέρνοντές τον, ἤλλαξαν τὸ σχῆμα, καὶ τὸ ὄνομά του, καὶ εἰς τὸ ἑξῆς ἐφαίνετο μὲ φορέματα τούρκικα, καὶ μὲ ὄνομα Μεϊμέτης, καὶ ἄλλο δὲν τὸν ἔλιπε, πλὴν τῆς περιτομῆς, τὴν ὁποίαν ποτὲ δὲν ἔλαβεν· ὑστερούμενος ὅμως τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, προσεκολλήθη εἰς τοὺς μακελάριδες, καὶ βόσκωντας τὰ ζῶα

ὁποῦ εἶχαν διὰ σφαγὴν, ἐλάμβανεν ἀπὸ αὐτοὺς τὴν ζωοτροφίαν του.

Ἐν μιᾷ οὖν τῶν ἡμερῶν συνέβη κατὰ θείαν οἰκονομίαν νὰ τὸν ἰδῇ εἰς τὰ βουνὰ τῆς Ἁγίας Ὑπακοῆς, κάποιος ἀρχιμανδρίτης Κύριλλος τὸ ὄνομά του, συνέβη λέγω νὰ τὸν ἰδῇ, καὶ νὰ ἐρωτήσῃ περὶ αὐτοῦ τοὺς ἐκεῖ εὑρεθέντας, τί ἄνθρωπος ἦτον, καὶ ἀφ' οὗ ἔμαθεν ἀπὸ αὐτοὺς τὰ πάντα, ἠξεύρωντας ὅτι ἡ ὄψωσις τῶν λόγων τοῦ Κυρίου, φωτεῖ καὶ συνετιεῖ νηπίους, προσῆλθεν εἰς αὐτὸν, καὶ ἀφ' οὗ τὸν ἠρώτησε, καὶ ἐγνώρισε τὴν πολλήν του ἁπλότητα, τὸν ἐδοκίμαζε πλέον μὲ τρόπους ἐπιτηδείους, νὰ καταλάβῃ τὴν γνώμην του ποῦ κλίνει, ἔπειτα καὶ κάποιας συμβουλὰς τοῦ ἔδωκε τί νὰ κάμῃ, καὶ πῶς νὰ περνᾷ· καὶ αὐτὰ φαίνεται ὅτι ἦσαν ἡ ἀρχὴ, καὶ ἡ ἀφορμὴ τῆς μεταβολῆς, καὶ τῆς διωρθώσεώς του· διατὶ ἐκεῖθεν ἀναχωρήσας, ἦλθεν εἰς κάποιον τόπον ὑδραγώγιον λεγόμενον, καὶ ἐκοιμήθη ἐκεῖ μέσα εἰς μίαν κριμνησμένην Ἐκκλησίαν τῆς Ἁγίας Ἄννης, πλὴν ἔκλεισε τοὺς σωματικοὺς ὀφθαλμοὺς εἰς ὕπνον, ἤνοιξεν ὅμως τοὺς ψυχικοὺς ὡς ἄλλος Ἰακὼβ, εἰς ὀπτασίαν παράδοξον, καὶ ἰδοὺ βλέπει μίαν ὡραιοτάτην κόρην, μὲ ξενικὴν στολὴν ἐνδεδυμένην, καὶ τοῦ λέγει, σήκω, πήγαινε εἰς τὸν ἱερέα τοῦ Ναοῦ τοῦ Υἱοῦ μου νὰ σὲ λούσῃ, νὰ ὑγιάνῃς διὰ νὰ σὲ πάρω γαβρόν. Ἔπειτα διϋπνισθεὶς, ἔτρεξε μετὰ χαρὰς μεγάλης εἰς τὸ χωρίον διηγούμενος αὐτολεξεὶ πρὸς τὴν ἀδελφήν του τὸ ὅραμα ἐκεῖνο· αὐτὰ τὰ ἴδια ἀνήγγειλαν καὶ εἰς τὸν ἐφημέριόν τους Γενάδιον ὀνομαζόμενον, ζητοῦντες τὴν λύσιν καὶ τὴν ἑρμηνείαν τοῦ ὀνείρου, ὁ δὲ νομίζωντάς το ὄνειρον ἁπλῶς ἢ ἀποτέλεσμα τῆς ἀφροσύνης του, τοὺς ἐδίωξε, λέγων τοῦ τρελοῦ τὸ ὄνειρον θέλομεν ἐξετάσει τί εἶναι, καὶ τί δὲν εἶναι; ἐπειδὴ δὲ ὁ προρρηθεὶς ἀρχιμανδρίτης, εἶχε τῷ τότε καλὴν ὑπόληψιν, προσέτι ἦτον καὶ προεστὼς εἰς τὸν Ναὸν τοῦ Σωτῆρος Χριστοῦ ὁποῦ εἶναι εἰς τὸ παλαιόκαστρον, διὰ τοῦτο προσῆλθον εἰς αὐτὸν, νὰ τοῦ ψάλλῃ ἁγιασμοὺς, νὰ τοῦ ἀναγνώσῃ ἐξορκισμοὺς, μήπως τάχα αὐτὰ ἐννοοῦσε λοῦσμα ἡ φανεῖσα κόρη, καὶ αὐτὸν (τὸν ἀρχιμανδρίτην λέγω), ἔλεγεν ἱερέα τοῦ Ναοῦ τοῦ υἱοῦ της, καθὼς καὶ ἡ ἔκβασις τῶν πραγμάτων τὸ ἔδειξε· διατὶ προσκαλεσάμενος τὴν θείαν βοήθειαν, διὰ τῶν εὐχῶν τοῦ ἱεροῦ ἀρχημανδρίτου ἐκείνου, ἔλαβε τὸ ποθούμενον, τουτ' ἔστιν ἦλθεν εἰς τὸν ἑαυτόν του καὶ ὑγίανε, καὶ ἔγινε καθὼς ἦτον πρότερον, εἰς διάστημα δύω ἡμερονυκτίων· ὁ δὲ ἀρχημανδρίτης, ἀφοῦ θείᾳ χάριτι τὸν ἐκατέστησεν ὑγιῆ, καὶ φρόνιμον, ἐφρόντισε πλέον καὶ διὰ τὴν ψυχικήν του ὑγείαν· ὅθεν τὸν ἐκατήχησε καλῶς καὶ τὸν ἐδίδαξεν ἱκανῶς, καὶ οὕτως, ἀφοῦ τὸν ἔβαλεν εἰς ὁδὸν μετανοίας, καὶ Χριστιανικῆς ζωῆς, τὸν ἀπήλυσεν ἐν εἰρήνῃ.

Τὰ ἐπίλοιπα ὅμως τῆς διηγήσεως ἀδελφοὶ, εἶναι θαυμαστὰ καὶ παράδοξα, καὶ ὡς τοιαῦτα, καὶ περισσοτέραν ζητοῦσι τὴν προσοχήν· διὰ τί ἐλθὼν εἰς τὸν ἑαυτόν του ὁ νέος καὶ σωφρονισθεὶς χωρὶς νὰ τοῦ μείνῃ κἀνένα ἐλάττωμα, ἄρχισε, νὰ κάμνῃ μίαν θαυμασίαν μετάνοιαν, καὶ ἀπορίᾳς ἀπὸ μιᾶς πᾶσαν σωματικὴν φροντίδα ὁ ἀοίδιμος, μὲ νηστείαν, καὶ προσευχὴν, καὶ ἀγρυπνίαν, ἀπερνοῦσεν ὅλον τὸν πρὸ τοῦ Μαρτυρίου καιρὸν, καὶ μὲ γονυκλισίαις σχεδὸν ὑπὲρ ἀριθμόν· πολλάκις δὲ καὶ παρακινούμενος ἀπὸ τὴν ἀδελφήν του, νὰ δώσῃ ὀλίγην ἄνεσιν εἰς τὸν ἑαυτόν του, ἀπὸ τὴν πολλὴν νηστείαν, καὶ ταλαιπωρίαν, δὲν ἠθέλησεν, ἀλλ' ἔμεινε νηστεύων συναπτῶς καὶ δύω, καὶ τρεῖς ἡμέρας· βλέπωντας δὲ τὴν εἰκόνα τῆς ἀποτομῆς τοῦ τιμίου Προδρόμου, ἅρπαζε, καὶ τὴν ἐκαταφίλει ἀχόρταστα, (ὁ τόσον εἰκονομάχος ἐν τῷ καιρῷ τῆς ἀφροσύνης του), καὶ μὲ θερμὰ δάκρυα εἰς τοὺς ὀφθαλμοὺς, καὶ καρδίαν συντετριμμένην, καὶ τεταπεινωμένην, ἢ μᾶλλον εἰπεῖν ἀναμμένην ἀπὸ τὴν φλόγα τῆς τοῦ Χριστοῦ ἀγάπης, Ἅγιε τοῦ Θεοῦ λέγει,

καθὼς ἐσὺ διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ ἀπεκεφαλίσθης, ἔτζη ἀξίωσαι καὶ ἐμὲ νὰ ἀποκεφαλισθῶ διὰ τὴν ἀγάπην του· ὦ ἔρως· ὦ ἀγάπη θερμοτάτη πρὸς τὸν Χριστόν· ὄντως μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει· ὅθεν μὲ ὅλον ὁποῦ ἦτον δυνατὸν, νὰ ὑπάγῃ εἰς κἀνένα μέρος, καὶ ἐκεῖ, καὶ τὸν Χριστὸν νὰ λατρεύῃ, καὶ τὴν ζωήν του νὰ φυλάττῃ, μὲ ὅλον τοῦτο μὴ φοβηθεὶς ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι ἐπαῤῥησιάζετο Χριστιανὸς, τόσον ὁποῦ καὶ εἰς τὴν Ἐκκλησίαν μετὰ τῶν ἄλλων ἐπήγαινεν. Ἀλλ' ἐπειδὴ πρὸ ὀλίγου ἐφαίνετο, καὶ ἐγνωρίζετο ὡς Τοῦρκος, διὰ τοῦτο φοβούμενοι οἱ ἄλλοι Χριστιανοὶ τὸν κίνδυνον νὰ τὸν δέχωνται εἰς τὴν Ἐκκλησίαν, τὴν τρίτην φορὰν ὁποῦ ἐπῆγε πάλιν, τὸν ἐδίωξαν μὲ φωνὰς, καὶ θόρυβον· αὐτὸς δὲ ὁ Μακάριος ἐστάθη εἰς τὸ μέσον τοῦ ναοῦ, μὲ πρόσωπον σκυθρωπὸν, καὶ βρεγμένον ἀπὸ δάκρυα, καὶ μὲ θρηνώδη φωνὴν διὰ τί μὲ διώκετε, τοὺς λέγει, ἀδελφοί, ἀπὸ τὸν ναὸν τοῦ Θεοῦ, ὁποῦ εἶμαι καὶ ἐγὼ Χριστιανὸς, ὡσὰν καὶ ἐσᾶς; πλὴν Χριστιανὸς εἶμαι, καὶ Χριστιανὸς μέλλω νὰ ἀποθάνω· ἔπειτα σφραγίσας τὸν ἑαυτόν του τρεῖς φοραῖς μὲ τὸ σημεῖον τοῦ τιμίου σταυροῦ, εὐγῆκεν ἔξω μετὰ δακρύων, καὶ ἀναστεναγμῶν, καὶ πηγαίνωντας εἰς τὸ ὀσπήτιόν του, ἐδόθη ὅλος εἰς θερμὴν δέησιν πρὸς τὸν Θεὸν, ἕως ὁποῦ καὶ οἱ ἄλλοι εὐγῆκαν ἀπὸ τὴν Ἐκκλησίαν· καὶ τότε ἐπειδὴ καὶ εἶχεν ἀκουσθῇ πρότερον, ὅτι ὁ Νικόλαος, ἔστρεψε πάλιν εἰς τὴν προτέραν του πίστιν, καὶ ἄφησε τὴν Τούρκικην, ἐπειδὴ εἶχεν ἀκουσθῇ λέγω τοῦτο, νὰ καὶ φθάνουσιν ὡς ἐπὶ λῃστὴν μετὰ μαχαιρῶν, καὶ ὅπλων, οἱ ἀπεσταλμένοι ἀπὸ τὸ κριτήριον, διὰ νὰ τὸν φέρουν εἰς ἐξέτασιν τοῦ τολμήματος· καὶ πρῶτον μὲν ἔδεσαν αὐτοῦ τὰς χεῖρας εἰς τὰ ὀπίσω, ἔπειτα δὲ συνελαβὸν καὶ τὸν ἐφημέριον τοῦ χωρίου, καὶ ἄλλους δύω τοὺς προέχοντας καὶ ὅλους ὁμοῦ τοὺς ἔφεραν εἰς τὸ κριτήριον· καὶ τοὺς μὲν ἄλλους τρεῖς τοὺς ἐφυλάκωσαν, μόνον δὲ τὸν Νικόλαον, παρέστησαν εἰς ἐξέτασιν· ὁ δὲ ἐξεταζόμενος, καὶ ἐρωτώμενος διὰ τί νὰ ἀλλάξῃ τὸ σχῆμα καὶ τὸ ὄνομά του, καὶ νὰ γένῃ πάλιν Χριστιανός; ἐπειδὴ ἐγὼ ἀπὸ Χριστιανοὺς ἐγεννήθην, τοὺς ἀπεκρίνεται, καὶ Χριστιανὸς ἀνετράφην, καὶ εἶμαι Χριστιανὸς καὶ τὸν Χριστόν μου ποτὲ δὲν ἠρνήθηκα νὰ τουρκίσω, οὔτε θελω τὸν ἀρνηθῇ ποτὲ, ἀλλὰ Χριστιανὸς μέλλω νὰ ἀποθάνω· καὶ ταῦτα μὲν ὁ νέος· ὁ δὲ κριτὴς καὶ οἱ μετ' αὐτοῦ τότε κατ' ἀρχὰς ἐδοκίμαζον μὲ πολλὰς κολακείας, καὶ διαφόρους ὑποσχέσεις, νὰ τὸν καταπείσουν νὰ μένῃ εἰς τὴν θρησκείαν τους· πλὴν ἄλλο δὲν ἐκατόρθωσαν μὲ αὐτὰ, παρὰ τοῦτο μόνον· ἄναψαν δηλονότι τὸν ζῆλον τοῦ Μάρτυρος, καὶ οὔτε τοὺς κριτὰς ηὐλαβήθη, οὔτε τὰ ἄλλα παριστάμενα πλήθη τῶν Ἀγαρηνῶν ἐφοβήθη, οὔτε ἄλλο τι ἐσυλλογίσθη, ἀλλὰ μὲ φρόνημα γενναῖον, μὲ λαμπρὰν φωνὴν, καὶ μὲ γλῶσσαν ἐλευθέραν, ἤλεγξε τὴν θρησκείαν τους, ἐχλεύασε καὶ ἐκαταγέλασε τὴν ἀγνωσίαν τους, καὶ τὴν πλάνην τους· καὶ τινὰς ἀπὸ αὐτοὺς δὲν ἐδυνήθη νὰ ἀντειπῇ, καὶ νὰ ἐναντιωθῇ, κατὰ τὴν Κυριακὴν ὑπόσχεσιν τὴν λέγουσαν, «ἐγὼ δώσω ὑμῖν στόμα, καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν».

Ἐπειδὴ λοιπὸν ἀπὸ τὴν θείαν παῤῥησίαν, καὶ τὴν πνευματοκίνητον γλῶσσαν τοῦ Μάρτυρος, ἐνικήθησαν καὶ κατησχύνθησαν, μετέβαλον τὴν ἡμερότητα εἰς θηριώδη ἀγριότητα, τὰς κολακείας, καὶ τὰς ὑποσχέσεις, εἰς ἀπειλὰς, καὶ φοβερισμοὺς· ὅθεν χωρὶς νὰ χάσουν καιρὸν, τὸν ἔστρωσαν εἰς τὸ ξύλον, καὶ μὲ ἄκραν σκληρότητα, περισσότεραις ἀπὸ πεντακόσιαις ῥαβδιαῖς τὸν ἔδωκαν εἰς τοὺς πόδας· καὶ μετὰ τὴν βάσανον ταύτην τὸν ἔῤῥιψαν ἔτζη ἀθεράπευτον μέσα εἰς τὴν φυλακὴν, καὶ ὄχι τόσον μόνον, ἀλλὰ καὶ μὲ ἀπανθρωπίας ὑπερβολὴν, ἔσφυγξαν τοὺς καταπληγωμένους πόδας του, μέσα εἰς τὸ βασανιστήριον ξύλον, τὸ κοινῶς λεγόμενον τουμπροῦκι

οἱ δὲ προειρημένοι τρεῖς ἐγχώριοί του, ἦσαν καὶ αὐτοὶ φυλακωμένοι ἀλλὰ χωρὶς βασάνους· ἀλλ' ὅμως μὴν ὑποφέροντες οὐδὲ αὐτὴν τὴν ὀλίγην στενοχωρίαν τῆς φυλακῆς, ἐτόλμησε νὰ εἰπῇ πρὸς αὐτὸν ὁ ἱερεὺς μάλιστα, ὁ διδάσκαλος τῆς εὐσεβείας, φεῦ! ἐτόλμησε λέγω νὰ τοῦ εἰπῇ λόγον ὄντως σατανικὸν καὶ διαβολικόν· ἕως πότε, λέγει, μᾶς βασανίζεις; Τούρκευσε νὰ γλυτώσῃς καὶ ἐσὺ, καὶ ἡμεῖς, καὶ διὰ ἕνα ἄνθρωπον ἡ Χριστιανωσύνη δὲν ὀλιγοστεύει· τοῦτον ἀκούσας τὸν λόγον ὁ θεῖος Νικόλαος, τόσον ἐταράχθη, τόσον ἄναψεν ὁ ἔνθεος ζῆλός του, ὥστε ὁποῦ δὲν τὸν εὐλαβήθη πλέον ὡς ἱερέα τοῦ Θεοῦ, ἀλλ' ὡσὰν ἕνα ἐχθρὸν, ἕνα ἐπίβουλον, ἕνα προδότην τῆς εὐσεβείας, τὸν ἔπτυσε τρεῖς φοραῖς εἰς τὸ πρόσωπον· λέγων, σὺ ὁ ἱερεὺς τοῦ Θεοῦ, μὲ παρακινεῖς νὰ προδώσω τὴν πίστιν μου, ἀντὶ νὰ μὲ διδάξῃς νὰ τὴν φυλάξω ἕως θανάτου; μετὰ δὲ ἡμέρας τινὰς, λογιάζοντες οἱ Τοῦρκοι, ὅτι θέλει δειλιάσει ἀπὸ τὰς προτέρας τιμωρίας, καὶ οὕτω νὰ ἀρνηθῇ τὸν Χριστὸν, τὸν εὔγαλαν εἰς δευτέραν ἐξέτασιν· καὶ πάλιν ὑποσχέσεις μεγάλαι, πάλιν κολακεῖαι πολλαί· λυπήσου, λέγοντες, τὴν νεότητά σου ὦ τέκνον, τὴν ὡραιότητά σου, τὴν ζωήν σου, μὴ θελήσῃς νὰ ζημιωθῇς καὶ νὰ χάσῃς αὐτὰ τὰ καλὰ, ἀλλὰ κάμε ὑπακοὴν εἰς ἡμᾶς, διὰ νὰ σὲ τιμήσωμεν, καὶ νὰ σὲ δοξάσωμεν μεγάλως, καὶ ταῦτα λέγοντες, τὸν ἔδειχναν ἕνα κιβώτιον περιέχον πολλὰ φλωρία, καὶ ἄλλα ἀργύρια, καὶ μίαν φορεσιὰν λαμπρὰν καὶ πολυέξοδον, καὶ ὅλα αὐτὰ τὸν ἔλεγαν, ἂς ἦναι ἐδικά σου, περιπλέον νὰ σὲ κάμωμεν υἱόν μας, μόνον ὑπάκουσον· εἰ δὲ καὶ μένῃς εἰς τὸ πεῖσμα, θέλομεν σὲ θανατώσει ἀπκραιτήτως, μὲ σκληρότατον θάνατον, καὶ ταῦτα μὲν ἔλεγον οἱ τύραννοι.

Τί δὲ ὁ Μάρτυς ἀνταπεκρίθη; οὔτε τὰς κολακείας σας δέχομαι, οὔτε τὰς ὑποσχέσεις βάνω παντελῶς εἰς τὸν νοῦν μου· ἀλλ' οὐδὲ τὰς τιμωρίας, καὶ τὸν ἀπειλούμενον θάνατον φοβοῦμαι· Χριστιανὸς εἶμαι, καὶ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ κἀνένα πρᾶγμα δὲν θέλει δυνηθῇ νὰ μὲ χωρίσῃ· πλὴν ἐὰν μου ὑπακούετε ἐσεῖς πρότερον, (τοὺς λέγει μὲ τὴν σύντροσόν του ἁπλότητα), εἰς ἕνα ζήτημα ὁποῦ ἔχω νὰ σᾶς ζητήσω, ὑπακούω καὶ ἐγὼ εἰς ἐσᾶς ὕστερον· αὐτοὶ δὲ μὴν ἠξεύροντες τί ἦτον τὸ ζήτημά του, ὑπεσχέθησαν μετὰ χαρᾶς. τί δὲ ἦτον ἐκεῖνο τὸ ζήτημα; στέρξετε πρῶτον ἐσεῖς, τοὺς λέγει, νὰ σᾶς βαπτίσω νὰ σᾶς κάμω Χριστιανοὺς, καὶ ἔπειτα κάμετέ με καὶ ἐσεῖς ὅ,τι θέλετε· τόσον δὲ τοὺς ἐτάραξεν αὐτὸς ὁ λόγος τοῦ Μάρτυρος, τόσον τοὺς ἄναψε τὸν θυμὸν, ὥστε ὁποῦ τοὺς ἔκαμε νὰ ἐπινοήσουν καὶ νὰ ἀποφασίσουν, ἀκόμα καὶ νὰ μεταχειρισθοῦν εἰς αὐτὸν, τὰ πλέον δεινὰ καὶ ἀσυνήθιστα κολαστήρια· ἐπρόσταξαν λέγω, καὶ ἔχυσαν νερὰ κάτω εἰς τὸ ἔδαφος τῆς φυλακῆς, ἔπειτα ἔχοντες διαπερασμένα εἰς ἕνα σανίδι πολλὰ καὶ μητερὰ καρφία, τὸ ἔβαλαν ἐπάνω εἰς τὰ νερὰ ἐκεῖνα, καὶ ὕστερον ἐξήπλωσαν τὸν Μάρτυρα ἐπάνω εἰς αὐτὰ τὰ καρφία τὰ διαπερασμένα εἰς τὸ σανίδι· ἐπὶ δὲ τοῦ στήθους καὶ τῆς κοιλίας του, ἐπέθηκαν μίαν βαρυτάτην πλάκα· εἰς δὲ τὸν λαιμὸν τοῦ ἐπέρασαν ἁλυσίδα· καὶ εἰς τὸν ἴδιον καιρὸν τοῦ εἶχαν τοὺς πόδας εἰς τὸ τουμπροῦκι· ταῦτα μὲν ἐπρόσταξαν οἱ τύραννοι, οἱ δὲ ὑπηρέται ἐτελείωσαν τὰ προσταχθέτα τὸ ὀγληγορώτερον, ὁ δὲ Μάρτυς τοῦ Χριστοῦ, τὰ ὑπέμενε χαίρων, καὶ δοξάζων τὸν Θεόν. Ὁ Χριστὸς ὅμως ὁποῦ εἶναι τῶν Μαρτύρων τὸ κραταίωμα, καὶ ἡ δύναμις, δὲν ἄφησε τὸν δοῦλόν του ἀβοήθητον καὶ ἀπαρηγόρητον εἰς τοσαύτην ἀνάγκην, ἀλλὰ τὸ μεσονύκτιον νὰ καὶ γίνεται ἕνας σεισμὸς φοβερὸς μέσα εἰς τὴν φυλακὴν, καὶ μὲ τὸν σεισμὸν ἀπεκυλίσθη ἡ πλάκα, καὶ ἔπεσεν ἀπὸ τὸ στῆθος, καὶ τὴν κοιλίαν τοῦ Ἁγίου, καὶ ὢ τοῦ θαύματος! οὔτε ἡ πλάκα τοῦ ἐσύντριψε τὰ κόκκαλα τοῦ στήθους, οὔτε τὰ καρφία τοῦ ἐτρύπησαν τὴν ῥάχην, ἀλλ' ἔμεινεν ὅλος ἀβλαβὴς, θείᾳ δυνάμει· ἡ δὲ φυλακὴ ἐγεμίσθη ἀπὸ εὐωδίαν ἄῤῥητον τὴν ὥραν ἐκείνην· τότε

καὶ ὁ προρρηθεὶς ὀλιγόπιστος ἱερεύς, βλέπωντας τὸ παράδοξον θαῦμα, μετενόησε, καὶ ἐζήτει θερμῶς τὸ ἔλεος τοῦ Θεοῦ διὰ ἐκεῖνα ὁποῦ ἐβλασφήμησε, καὶ πίπτωντας εἰς τοὺς πόδας τοῦ Ἁγίου ἐζήτει συγχώρησιν ἐπειδὴ τοῦ εἶπε νὰ τουρκεύσῃ· καὶ ὄχι μόνον αὐτὸς, ἀλλὰ καὶ ὅλοι οἱ ἐν τῇ φυλακῇ εὑρεθέντες, ἐξεπλαγησαν, καὶ ἐφώναζον, ὄντως Ἅγιος ἄνθρωπος εἶναι, ἀληθῶς Μάρτυς εἶναι ὡσὰν καὶ ἐκεῖνοι οἱ παλαιοὶ, καὶ διὰ τοῦτο ὁ Θεὸς ἐφάνη θαυμαστὸς εἰς αὐτόν· καὶ ἦτον μεγάλη χαρὰ εἰς ὅλους ἐκείνους ὁποῦ τὰ τοιαῦτα θαυμάσια ἤκουον· μόνοι δὲ οἱ Τοῦρκοι κατεσχύνοντο, καὶ ὡς ἄλλος Φαραὼ ἐσκληρύνοντο ἀπὸ τὴν ἀκοὴν τῶν θαυμάτων· διὰ τοῦτο τοὺς μὲν ἄλλους τρεῖς ἐγχωρίους του ὡς Μάρτυρας, καὶ κήρυκας αἰσχυνόμενοι, τοὺς ἀπέλυσαν μὲ ἄσπρα, κατὰ τὴν συνήθειάν τους· ὁμοίως ἀπέλυσαν μὲ μεγάλην δόσιν ἄσπρων καὶ τὸν προρρηθέντα ἀρχημανδρίτην, ὁ ὁποῖος ἐσυμβούλευσε, καὶ ἐδιώρθωσε τὸν Μάρτυρα καθὼς εἴπαμεν, τὸν ὁποῖον ὄχι μόνον εἶχαν φυλακωμένον, ἀλλὰ καὶ ἐφοβέριζαν μάλιστα νὰ κόψουν τὴν γλῶσσάν του, τοὺς μὲν ἄλλους λέγω τοὺς ἀπέλυσαν, τὸν δὲ Μάρτυρα εὐγάνοντές τον ἀπὸ τὴν κοινὴν φυλακὴν, διὰ νὰ μὴ τὸν βλέπουν οἱ ἄλλοι Χριστιανοὶ ὁποῦ ἔμειναν φυλακωμένοι, ἀφ' οὗ τοῦ ἔδησαν τὰς χεῖρας, καὶ τοὺς πόδας, τὸν ἔρριψαν μέσα εἰς τὸν σταῦλον τῶν ἀλόγων, ἐγκαταλελειμμένον ἀπὸ κάθε ἀνθρωπίνην βοήθειαν, διὰ νὰ λάβῃ θάνατον βίαιον, καὶ ἄτιμον ἀπὸ τὰ καταπατήματα τῶν ἀλόγων ὁ τρισμακάριστος· καὶ τὰ μὲν πονηρὰ βουλεύματα τῶν Ὀθωμανῶν ἦσαν τοιαῦτα, ὁ δὲ Θεὸς ὁποῦ ἐφύλαξεν ἀβλαβῆ τὸν προφήτην Δανιὴλ μέσα εἰς τὸν λάκκον ἀπὸ τὴν ὁρμὴν, καὶ τὴν ἀγριότητα τῶν λεόντων, αὐτὸς βέβαια ἐφύλαξε καὶ τὸν Νικόλαον ἀπὸ τὴν ὁρμὴν, καὶ τὰ πατήματα τῶν ἀλόγων, καὶ δὲν ἄφησε νὰ πάθῃ κἄνενα κακόν· ἀφ' οὗ δὲ ἀπέρασαν τρεῖς ἡμέραι, βλέπωντας ἕνας ἀπὸ τοὺς Ἀγαρηνοὺς Σουρούλης τὸ ἐπίκλην, ὅτι ἀκόμα ζῇ, τὸν ἔδιδε ψωμὶ νὰ φάγῃ, καὶ αὐτὸς ἀπεκρίθη ὅτι ἦτον χορτασμένος ἀπὸ τὰ φαγητὰ ὁποῦ τὸν ἔφερεν ἡ ἀδελφή του, (καὶ μὲ ὅλον ὁποῦ ἦτον ἡ ἀδελφή του μακρὰν κεκρυμμένη διὰ τὸν φόβον τῶν Ἀγαρηνῶν), καὶ ἔμεινε πάλιν νηστεύων, καθὼς καὶ ὅλον τὸν καιρὸν τοῦ Μαρτυρίου του ὁ θειότατος, μὲ νηστείαν μεγάλην τὸν ἀπέρασε.

Τέλος πάντων, ἐπειδὴ διὰ τῶν εἰρημένων βασάνων, οὔτε ἡ γνώμη του μετεβλήθη νὰ ἀρνηθῇ τὸν Χριστὸν, οὔτε ἀπέθανεν, ἀγανακτήσαντες πλέον, ἐζήτησαν φετουφᾶν ἀπὸ τὸν μουφτὴν διὰ νὰ φονεύσουν τάχα νομίμως τὸν δίκαιον, οἱ ἀδικώτατοι καὶ παρανομώτατοι· πλὴν δὲν ἔδωκε φετουφᾶν κρίνωντάς το ἐναντίον εἰς τὴν νομοθεσίαν των, ὡσὰν ὁποῦ ἦτον ἀπερίτμητος, ἤγουν ἀσυνέτευτος· (διὰ τί γνωστὸν ἔγινεν εἰς ὅλους ὅτι ἦτον ἀσυνέτευτος) αὐτοὶ ὅμως ἀδίκως, καὶ ἐναντίον εἰς τοὺς νόμους των, ἀπεφάσισαν τὸν κατ' αὐτοῦ θάνατον, ἀφ' οὗ διαφόρως τὸν ἐβασάνισαν, καθὼς ἕως ἐδῶ ὁ λόγος ἐφανέρωσεν, εἰς διάστημα τριάκοντα ἡμερῶν. Τότε λοιπὸν εὐγάνοντές τον ἐκ τῆς φυλακῆς, τὸν ἔφεραν εἰς τὸ βουνάκι, (εἰς μίαν πεδιάδα δηλαδὴ τῆς πόλεως) εἰς τὰ ἔξω τειχεῖα τῆς Σούδας τοῦ κάστρου, ὀλίγον παρὰ κάτω ἀπὸ τὸ ζύγι τοῦ νεροῦ, καὶ ἐπιστρέφοντες ἀπὸ τὸ τζαμὶ ὅλοι οἱ ἀγάδες καβαλαραῖοι ἐστάθησαν τριγύρου καὶ τὸν ἠρώτησαν τρεῖς φοραῖς, ἐὰν ἤλθεν εἰς τὸν νοῦν του νὰ τουρκεύσῃ, καὶ αὐτὸς ὁ εὐλογημένος ταλαιπωρημένος ἀπὸ τόσων ἡμερῶν νηστείαν, ἀτονισμένος ἀπὸ τόσας πολλὰς βασάνους, καὶ τὸ περισσότερον, διὰ νὰ δείξῃ ὅτι δὲν τοὺς ψηφᾷ ὁλότελα, δὲν ἀπεκρίθη μὲ λόγον τὸ, ὄχι, ἀλλὰ μόνον μὲ τὴν ἀνάνευσιν τῆς κεφαλῆς. Τελευταῖον τὸν ἐγονάτησαν τρεῖς φοραῖς· καὶ τὴν μὲν πρώτην τοῦ ἔδωκεν ὁ δήμιος μίαν λογχευτὴν ἤγουν ἐμπικτὴν μαχαιριὰν εἰς τὴν ῥάχην, ἔπειτα τὸν ἐσύκωσεν ἐπάνω καὶ πάλιν τὸν ἠρώτησαν, τὴν δὲ δευτέραν φορὰν τὸν ἔκοψε τὸν λαιμὸν ὀλίγον τι, καὶ πάλιν

τὸν ἐσύκωσε, καὶ τὸν ἠρώτησαν πάλιν ἐὰν θέλῃ νὰ τουρκεύσῃ νὰ γλυτώσῃ τὴν ζωήν του, λέγοντές του, ὅτι καὶ αἱ πληγαί του ἰατρεύονται· τὴν τρίτην φορὰν λέγωντάς του νὰ γονατίσῃ, ἔτρεξε μὲ μεγάλην δύναμιν καὶ ὁρμὴν, ἀπὸ τὴν πολλὴν ἔφεσιν, καὶ ἐπιθυμίαν ὁποῦ εἶχε νὰ τελειώσῃ τὸν δρόμον τοῦ Μαρτυρίου· ἔτρεξε λέγω, καὶ κλίνας τὰ γόνατα, ἐξεφώνησε τὸ γλυκύτατον ὄνομα τῆς κυρίας Θεοτόκου, λέγωντας τρεῖς φοραῖς, Παναγία βοήθει μοι· καὶ τότε πλέον ὁ δήμιος τὸν ἐκτύπησε μὲ ὅλην του τὴν δύναμιν, ἀλλὰ πάλιν δὲν ἀπεκόπη ἡ πάντιμος αὐτοῦ κεφαλὴ, οὔτε μὲ μίαν, οὔτε μὲ δύω, ἕως ὁποῦ μὲ ἀπανθρωπίας καὶ σκληρότητος ὑπερβολὴν, τὸν ἐπίασεν ἀπὸ τὰς τρίχας τῆς Κεφαλῆς, καὶ τὸν ἔσφαξεν ὡσὰν πρόβατον. Καὶ οὕτως ὁ ἔνδοξος Νικόλαος τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισται, κατὰ τὸν θεῖον Ἀπόστολον, τὴν πρὸς Χριστὸν τὸν Θεὸν πίστιν τετήρηκε, τὸν σωτήριον δρόμον τοῦ μαρτυρίου τετέλεκε, καὶ τὸ στέφος τῆς ἀφθαρσίας ἔλαβε παρὰ Θεοῦ, κατὰ τὸ εἰκοστὸν τρίτον ἔτος τῆς ἡλικίας του· κατὰ τοὺς χιλίους ἑπτακοσίους πενῆντα τέσσαρας χρόνους ἀπὸ Χριστοῦ, κατὰ τὴν τριακοστὴν πρώτην τοῦ Ὀκτωβρίου μηνὸς, ἐν ὥρᾳ ἕκτῃ, εἰς τὴν ὁποίαν καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐσταυρώθη.

Καὶ τότε θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, σκότος πυκνότατον ἐπέπεσεν εἰς ὅλην τὴν Χίον, τόσον ὁποῦ τὰ πλήθη ὁποῦ ἐπαράμεναν νὰ ἰδοῦν τὸ τέλος, Τοῦρκοι, Χριστιανοὶ, Φράγγοι, Ἑβραῖοι, δὲν ἐδιάκριναν ὁ ἕνας τὸν ἄλλον ἀπὸ τὸ σκότος, οὐδὲ τὸν δρόμον ὁποῦ κάθε ἕνας ἀπὸ αὐτοὺς ἔμελλε νὰ περιπατήσῃ δὲν εὑρισκεν, ὡσὰν νὰ ἦτον μία σκοτεινοτάτη νύκτα τοῦ χειμῶνος· οἱ δὲ χωρικοὶ βλέποντες ἔξαφνα τοιοῦτον παράδοξον σημεῖον, καὶ μὴν ἠξεύροντες τὴν αἰτίαν, ἔλεγον, τοῦτο βέβαια δὲν εἶναι ἄλλο παρὰ ὀργὴ θεϊκὴ καθ' ἡμῶν· καὶ ἔμεινε περιφερόμενον αὐτὸ τὸ σκότος ἕως τὴν σήμερον· μόνον δὲ τὸ πρόσωπον τοῦ Μάρτυρος νεκρὸν, μέγα θαῦμα! ἔλαμπεν ὡς ἄστρον λαμπρότατον, μέσα εἰς τὸ σκότος ἐκεῖνο. Ἀλλὰ καὶ θεῖον φῶς ἐπισκίαζε τὸ Μαρτυρικὸν λείψανον, τρεῖς νύκτας ἀκολούθως ὁποῦ τὸ ἐφύλαττον εἰς τὸν τόπον τῆς καταδίκης· οἱ δὲ πεπλανημένοι ἀγαρηνοὶ, βλέποντες τὸ οὐράνιον ἐκεῖνο φῶς, καὶ τὴν ἐντροπὴν μὴν ὑποφέροντες, ἔλεγον, ὅτι πῦρ ἐκατέβη ἀπὸ τὸν οὐρανὸν, νὰ κατακαύσῃ τὸ σῶμά του· ὅθεν λαβόντες ἀφορμὴν ἀπὸ τοῦτο, ἔκαψαν καὶ ἐμαύρησαν τὸ πρόσωπόν του μὲ δαδία, διὰ νὰ μὴ φαίνεται, εἰς ἔλεγχον καὶ κατηγορίαν τους, τὸ κάλλος, καὶ ἡ λαμπρότης ὁποῦ ἦχεν ἐκ θείας χάριτος· καὶ οὐ μόνον μὲ τὸ οὐράνιον φῶς, ἐδόξασεν ὁ Χριστὸς τὸν Μάρτυρά του, ἀλλὰ καὶ μὲ εὐωδίαν θαυμαστὴν, καὶ ἄῤῥητον, ἡ ὁποία ἐγέμιζε τὸν ἀέρα ἐν ὅσῳ ἔμενεν ἐκεῖ τὸ Ἅγιον λείψανον· τινὲς δὲ ἀπὸ τοὺς φύλακας ἔκοψαν δάκτυλα, καὶ ἄλλα εὐκολόκοπα μέλη, καὶ τὰ ἔδωκαν εἰς μερικοὺς γνωρίμους των Χριστιανοὺς, διὰ νὰ πάρουν ἄσπρα, ἄλλοι δὲ πάλιν Χριστιανοί, ἔλαβον χῶμα βρεγμένον ἀπὸ τὰ Μαρτυρικὰ αἵματα. Τέλος πάντων μετὰ τρεῖς ἡμέρας, ἔῤῥιψαν τὸ Ἅγιον λείψανον εἰς τὴν θάλασσαν, διὰ νὰ μὴ τὸ λάβουν οἱ Χριστιανοί, ποῦ δὲ ἐφέρθη, καὶ ἐκατήντησε δὲν ἠξεύρει τινάς· οὕτως ἐδόξασε τὸν Θεὸν ἀδελφοί, ὁ Θεῖος Νικόλαος, μὲ τοὺς ὑπὲρ φύσιν ἀγῶνας τοῦ Μαρτυρίου του, καὶ ὁ Θεὸς ἀντεδόξασεν αὐτὸν, μὲ τὰ παράδοξα θαύματα τῆς θείας αὐτοῦ παντοδυναμίας.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν τοῦ θαυμαστοῦ τούτου Μάρτυρος, μία γυναῖκα σεμνὴ καὶ κοσμία, Σμαράγδα τὸ ὄνομά της ἐκινδύνευεν εἰς θάνατον, ἀπὸ ἕνα δεινότατον καὶ ἀθεράπευτον πάθος· τὸ δὲ πάθος αὐτὸ τῆς ἐσυνέβη ἀπὸ τὴν ἀκόλουθον περίστασιν· υἱὸν εἶχεν αὐτὴ εἰς ξενιτείαν διατρίβοντα, ὅστις ἐπάνω εἰς τὸ ἄνθος τῆς ἡλικίας του ἀπέθανε, μαθοῦσα λοιπὸν τὴν τοιαύτην λυπηρὰν εἴδησιν τοῦ υἱοῦ της τόσον ἀμέτρως ἐλυπήθη, ὥστε ὁποῦ ἔπαθεν ἕνα ἀσυνείθιστον πάθος.

ἔπαυσε δηλαδὴ εἰς τὸ ἐξῆς ἡ κατὰ μῆνα φυσικὴ ῥύσις τοῦ αἵματός της, καὶ τὸ αἷμα ἐκεῖνο ὁποῦ ἐμποδίσθη ἀπὸ τοὺς φυσικοὺς πόρους, ἔστρεψε καὶ εὔγαινεν ἀπὸ τὸ στόμα της, καὶ τόσον πολὺ ὁποῦ λεκάνην ἐγέμιζε, καθὼς ἡ ἰδία ἔλεγε· κράζει λοιπὸν τοὺς ἰατροὺς, δοκιμάζουν ἐκεῖνοι μὲ ὅλην τὴν δύναμιν τῆς τέχνης των νὰ τὴν θεραπεύσουν, ἀλλὰ δὲν δύνανται, προσπίπτει εἰς τὴν χάριν τῶν θαυματουργῶν καὶ ἰαματικῶν Ἀναργύρων, προσκαλεῖ τὰ ἱερά τους λείψανα, τῆς ψάλλουν ἁγιασμὸν μὲ αὐτὰ, ἀλλ' ὅχι, μόνον θεραπείαν δὲν εὑρίσκει, ἀλλ' οὔτε κἂν παραμικρὰν παρηγορίαν, προσκαλεῖ ἔπειτα καὶ τὴν χαριτόβρυτον κάραν τῆς ὁσίας Ματρώνης, ἀλλ' ὁ Θεὸς ὁ δοξάζων τοὺς αὐτὸν ἀντιδοξάζοντας, βουλόμενος νὰ δοξάσῃ τὸν νέον αὐτοῦ Μάρτυρα Νικόλαον (καθὼς ἔδειξαν τὰ πράγματα ὕστερον) δὲν εὐδόκησεν νὰ τὴν θεραπεύσῃ οὔτε ἡ Ἁγία Ματρώνα, τὸ δὲ πάθος νὺξανε, καὶ θάνατον ἀπαραίτητον ἐφοβέριζε τῆς ἀθλίας γυναικός· ἐπειδὴ λοιπὸν ἀπελπίσθη αὐτὴ ἀπὸ κάθε λογῆς βοήθειαν, καὶ ἐπειδὴ ἐν ἐκείναις ταῖς ἡμέραις ἐτελείωσε τὸν ἀγῶνα τοῦ Μαρτυρίου ὁ θεῖος Νικόλαος, καὶ εἰς κάθε μέρος τὰ διηγήματα τῶν μαρτυρίων του, καὶ τῶν θαυμάτων του ἐλέγοντο, καὶ ἠκούοντο, διὰ τοῦτο μὲ πολλὴν εὐλάβειαν, καὶ μεγάλην πίστιν ζητεῖ ἀπὸ τὸν Μάρτυρα τὴν ὑγείαν της, καὶ κατὰ μίμησιν τῆς Εὐαγγελικῆς αἱμορρόουσης, ἔλεγεν εἰς τὸν ἄνδρα της, Ἀλεξανδρὴ (τοῦτο ἦτον τὸ ὄνομά του) κάμε δ,τι ἠμπορέσεις νὰ λάβωμεν τίποτας ἀπὸ τὸ μαρτυρικὸν λείψανον τοῦ Νικολάου, καὶ ἐλπίζω, ὅτι θέλει μοῦ γένῃ ἰατρὸς θαυμάσιος· καὶ ὦ τοῦ θαύματος ἀδελφοί, οὕτως ἔγινε· διὰ τί ἀφ' οὗ αὐτὸς ἐπιμελήθη, καὶ εὗρεν ὀλίγον τι ἀπὸ τὸ λείψανον τοῦ Ἁγίου, καὶ τὸ ἐπροσκύνησε, καὶ τὸ ἠσπάσθη ἡ ἀσθενὴς, ἔλαβε τὴν ὑγείαν της, δοξάζουσα τὸν Θεὸν, καὶ τὸν Ἅγιον. Ταῦτα πάντα καὶ ἡμεῖς συνεγράψαμεν μὲ ὅλην τὴν ἀκρίβειαν τῆς ἀληθείας, ἀπὸ τὰ σημειώματα ὁποῦ τότε παρευθὺς πολλοὶ αὐτόπται, καὶ αὐτήκοοι ἔκαμαν, καὶ ἀπὸ τὴν μαρτυρίαν πολλῶν ἀξιοπίστων ἀνθρώπων, ὁποῦ καὶ αὐτοὶ αὐτόπται, καὶ αὐτήκοοι ἐγένοντο τῶν πραγμάτων, καὶ μέχρι τῶν ἡμερῶν ἡμῶν ζῶσι, καὶ τὰ κηρύττουσι. Τὰ ἐσημειώσαμεν λέγω εἰς δόξαν Θεοῦ, καὶ εἰς τιμὴν τοῦ θείου Μάρτυρος· οὗ ταῖς Ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος. Ἀμήν.

Ὠδὴ, ζ'. Θεοῦ συγκατάβασιν.

Προστάξει ὁ ἥλιος, Θεοῦ τοῦ κτίστου τὰς ἑαυτοῦ φωταυγεῖς, συνέστειλεν ἀκτῖνας, ἡνίκα ξίφει τὴν ἱερὰν κεφαλὴν, οἱ δυσσεβεῖς ἀθλοφόρε ἀπέτεμον, τὴν σὴν λαμπρὰν καὶ σεπτὴν, πάντως τιμῶν τελευτήν.

Ῥωννύμενος σθένεισου, παντοδυνάμῳ ὁ ἀθλοφόρος Χριστὲ, διήνυσε τὸν δρόμον τοῦ Μαρτυρίου γιγαντιαίῳ ποδὶ, καὶ ἐν σκηνώμασι θείοις ἐσκήνωσε, σὺν τοῖς ἀγγέλοις βοῶν εὐλογητὸς ὁ Θεός.

Σιὼν τὴν οὐράνιον, οἰκεῖς παμμάκαρ σὺν τοῖς Μαρτύρων χοροῖς, ἐλλαμπόμενος αἴγλῃ, καὶ φωταυγίᾳ τοῦ ἀνεσπέρου φωτὸς, μετὰ ἀγγέλων βοῶν εὐφραινόμενος, ἐν ἀσιγήτῳ φωνῇ εὐλογητὸς ὁ Θεός.

Ὡς ὄρθρος ἀνέτειλας, δικαιοσύνης ἥλιον ἔχουσα, τὸν ἐκ σκότους τὸν κόσμον, τῆς ἀγνωσίας ἀποκαθαίροντα, θεογνωσίας ἀκτῖσιν, ᾧ ψάλλομεν, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἄλλος ἐν τῇ καμίνῳ.

Ἐν τῇ καμίνῳ τῶν βασάνων Νικόλαε ὡς χρυσὸν, ἐδοκίμασεν ὁ Κύριος ἐν τῇ γῇ, καὶ ὡς θεῖον ὁλοκαύτωμα, σὲ προσδεξάμενος, κοινωνὸν θείας δόξης ἐποίησε.

Ξίφει τὴν κάραν, ἀπετμήθης παμμάκαρ καὶ τοῖς σεπτοῖς, δήμοις τῶνΜ αρτύρων πάντων ἐν οὐρανῷ, συνεσκήνωσας Νικόλαε, εὐλογημένος εἰ τῷ δεσπότῃ κραυγάζων γηθόμενος.

Ὡς παῤῥησίαν, σὺ κεκτημένος Νικόλαε πρὸς Θεὸν, τοῖς μετ' εὐλαβείας θείας

τὴν ἱερὰν, ἐκτελοῦσί σου πανήγυριν, ψυχῶν τὴν κάθαρσιν, καὶ σωμάτων τὴν ἴασιν δώρησαι.

Θεοτοκίον.

Δεδοξασμένη, πεφωτισμένη μητροπάρθενε, πάντας τοὺς τιμῶντας σὲ τὴν παναληθῆ, θεοτόκον περιφρούρησον, εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Ὠδὴ, ἡ. Ἐπταπλασίως Κάμινον.

Τῷ θρόνῳ παρεστάμενος, τῆς τριάδος Νικόλαε, ἅμα τοῖς Μαρτύρων ἱεροῖς στρατεύμασι, τῶν ἄθλων τὰ ἔπαθλα, λαμβάνων παρ' αὐτῆς δαψιλῶς, καὶ νικητικὰ, ὡς ἀθλητὴς τὰ βραβεῖα, δεχόμενος τρισμάκαρ, σὺν πολλῇ εὐφροσύνῃ, ὑμνεῖς τὸ θεῖον κράτος, εἰς πάντας τοὺς αἰῶνας.

Ὑπὲρ ἡμῶν ἱκέτευε, ἀθλοφόρε Νικόλαε, τὸν Θεὸν τῶν ὅλων, τῶν θερμῶς τελούντων σου, τὴν μνήμην τὴν πάντιμον καὶ παναγίαν σου τελευτὴν, ἔχων πρὸς αὐτὸν, Μάρτυρικὴν παῤῥησίαν, προσάγειν ἱκεσίας, καὶ πληροῦν τὰς αἰτήσεις, τῶν πίστει προστρεχόντων τῇ σκέπῃ σου τῇ θείᾳ.

Φωτοφανὴς ὡς ἥλιος, ἡ σὴ μνήμη ἀνέτειλεν, ἀθλητὰ Κυρίου, Καρυῶν τὸ ἐλάστημα, καὶ Χίου τὸ καύχημα, καὶ ὀρθοδόξων κλέος λαμπρὸν, καὶ φωταγωγεῖ, πνευματικαῖς λαμπηδόσι, τοὺς πόθῳ ἐκτελοῦντας, καὶ ἐν ὕμνοις τιμῶντας, τοὺς ἄθλους οὓς ὑπέστης ὑπὲρ τῆς εὐσεβείας. Θεοτοκίον.

Νύμφη Θεοῦ πανάμωμε, τοὺς πρὸς σὲ καταφεύγοντας, τῆς αἰχμαλωσίας τῶν παθῶν ἐξάρπασον, καὶ τὴν αὐτοδέσποτον ἐλευθερίαν δέσποινα, ταῖς τῶν ὀρθοδόξων ἐκκλισίαις παράσχου, ταῖς πίστει μελῳδούσαις, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε.

Καρυῶν σὺ ἔλαστὸς εὐθαλέστατος, εὐτελοῦς τινος κώμης ἐβλάστησας, καὶ ἐν αὐτῇ ἐξήνθησας, ἀρδευθεὶς δὲ αἱμάτων, ἐκ σῶν καλλιμάρτυς, ἄλλος φοῖνιξ ἐφάνης ὑψίκομος.

Οὐχ' ὡς Ἄβελ ποτὲ προσενήνοχας, εἰς θυσίαν Θεῷ ζῷα ἄλογα, σαυτὸν δὲ θῦμα ἄμωμον, Ζαχαρίου τῷ ζήλῳ, καὶ τοῦ προδρόμου, καὶ Μαρτύρων ἁπάντων Νικόλαε.

Νῦν ἡ Χίος ἀγάλλου καὶ χόρευε, ὡς λαμπρὰ γὰρ ἐν πόλεσι πέφυκας, οἷα φῶς ἐκδισκεύουσα, Νικολάου τοὺς ἄθλους, καὶ θεῖον αἷμα, τὸ ἐν σοὶ ἐκχυθὲν ὑπὲρ πίστεως.

Θεοτοκίον.

Ὡς θεοῦ ἀκηλίδωτον ἔσοπτρον, ὑπεδέξω αὐτὸν σωματούμενον, καὶ ἐν δυσὶ ταῖς φύσεσι, γνωριζόμενον κόρη, ᾧ μελῳδοῦμεν, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ, θ'. Ἐξέστη ἐπὶ τοῦτο ὁ οὐρανός.

Χορείαις τῶν ἀγγέλων καὶ τῶν λοιπῶν, οὐρανίων ταγμάτων ἠρίθμησαι, ἐν οὐρανῷ, καὶ τῶν Ἀποστόλων καὶ προφητῶν, Μαρτύρων καὶ ὁσίων τε, καὶ ἱεραρχῶν τῶν πανευκλεῶν, καὶ ἱερομαρτύρων, καὶ πάντων τῶν δικαίων, Μάρτυς Νικόλαε τρισόλβιε.

Ψυχῆς σου τὴν λαμπρότητα, ἐκδηλῶν, τοῖς ἐν γῇ θεοφόρε Νικόλαε, φωτὶ τὸ σὸν, πρόσωπον ἐλάμπρυνεν ὁ Θεὸς, θαυματουργῶν ἐξαίσια, θαύματα καὶ τέρατα φοβερὰ, τὴν νῆσον πᾶσαν ζόφῳ, ἐκάλυψεν ἐν ὥρᾳ, τῆς ἐκτομῆς σου παναοίδιμε.

Ὡς μέγιστον τὸ κλέος σου ἀθλητὰ, καὶ ἡ δόξα καὶ χάρις ἣν ἔλαβες, παρὰ Θεοῦ, πᾶσαν ἐγκωμίων ὑπερνικᾷ, σύνθεσίν τε καὶ δύναμιν, λόγου εὐφημίου· ἀλλ' εὐμενῶς, τὸ εὐτελές μου τοῦτο, δῶρον δέξαι καὶ δός μοι, ταῖς σαῖς πρεσβείαις τὴν ἀντάμειψιν. Θεοτοκίον.

Σωτῆρα ὡς τεκοῦσα καὶ λυτρωτὴν, σωτηρίας με κόρη ἀξίωσον, ἐπιτυχεῖν, πάναγνε πταισμάτων μου τὰς σειρὰς, ταῖς σαῖς πρεσβείαις λύουσα· πάντα γὰρ ὡς θέλεις, νῦν κατορθοῖς, ὡς φέρουσα ἐν κόλποις, τὸν πάντων βασιλέα, τὸν ἀγαθότητι ἀσύγκριτον.

Ἄλλος. Λίθος ἀχειρότμητος ὄρους.

Ὅτε τῶν πολλῶν ἡ ἀγάπη, πρὸς τὸν Χριστὸν κατεψυχράνθη, τότε σὺ Νικόλαε

ὤφθης, πυρὶ τοῦ θείου πόθου τε καὶ τοῦ φίλτρου, πεπυρομένος Ἅγιε, ὅθεν ἐνήθλησας στερρότατα.

Θέρμανον κἀμοῦ τὴν καρδίαν, τὴν ἁμαρτίαις ψυχρανθεῖσαν, τοῦ ἀνευφημοῦντός σε πίστει, εὐχαῖς σου θείαις, πρὸς τὸν ἔνθεον πόθον, Νικόλαε μακάριε, καὶ ἐραστὰ Χριστοῦ θερμότατε.

Τῷ μεθ' ἱερᾶς εὐλαβείας, συνταξαμένῳ σοι τοὺς ὕμνους, νίκην τῶν παθῶν μοι παράσχου, ταῖς σαῖς πρεσβείαις ἀθλοφόρε Κυρίου, καὶ Νικηφόρον ὄντα με, κλήσει, καὶ πράγματι ἀνάδειξον.

Θεοτοκίον.

Φεῖσαί μου Χριστὲ ὅταν ἔλθῃς, κρῖναι τὸν Κόσμον μετὰ δόξης, λῦσον τὴν ἀχλὺν τῶν κακῶν μου, ταῖς ἱκεσίαις τῆς κυησάσης σε, καὶ τοῦ σεπτοῦ σου Μάρτυρος, ὡς ἀγαθὸς καὶ παντοδύναμος.

Ἐξαποστιλάριον. Ὁ οὐρανῶν τοῖς Ἄστροις.

Τοῖς αἵμασί σου τρισμάκαρ, ἡ σὴ πατρὶς πιανθεῖσα, νῆσος ἡ Χίος βοᾷ σοι, Νικόλαε νεομάρτυς, σύ μου εἶ δόξα καὶ κλέος, καὶ πρὸς Θεὸν πρέσβυς Θεῖος.

Θεοτοκίον ὅμοιον.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ βασιλέως· ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.

Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια.

Ἦχος ά. Τῶν οὐρανίων ταγμάτων.

Τοὺς ἐτησίως τὴν μνήμην σου ἑορτάζοντας, Νικόλαε τρισμάκαρ, καὶ πιστῶς εὐφημοῦντας, τοὺς ἄθλους τοὺς ἀγῶνας, οὓς καρτερῶς, ἐναθλῶν καθυπέμεινας, ὑπὲρ Χριστοῦ τῆς ἀγάπης, τοῦ δι' ἡμᾶς, καθ' ἡμᾶς ἐνανθρωπήσαντος.

Εἰ καὶ τοὺς πόδας ἐν ξύλῳ Μάρτυς ἠσφάλισαι, καὶ ἐν εἱρκτῇ ἐβλήθης, καὶ πλακὸς βαρυτάτης, τὸν πιεσμὸν ὑπέστης, πόθῳ Χριστοῦ, γενναιόφρον Νικόλαε, ἀλλὰ τὸν δρόμον διήνυσας ἀνδρικῶς, τῆς ἀθλήσεως Μακάριε.

Ἀποτμηθεὶς διὰ ξίφους πάσας διέτεμες, τὰς μηχανὰς τοῦ πλάνου, καὶ δολίου θελίαρ, Νικόλαε θεόφρον δι' ὃ τοὺς πιστῶς, τὴν σὴν μνήμην γεραίροντας, ῥῦσαι παγίδων τῶν τούτου ταῖς πρὸς Θεὸν, εὐπροσδέκτοις ἱκεσίαις σου.

Καὶ μετὰ θάνατον Μάρτυς σὲ ἐμεγάλυνεν, ὁ τῶν ἁπάντων κτίστης, τέρασι καὶ σημείοις, φωτὶ γὰρ οὐρανίῳ τὸ ἱερὸν, ἐπεκίσαζε λείψανον, σοῦ τὸ πολύαθλον Μάκαρ καὶ θαυμαστῆς, εὐωδίας ἐπληρώσατο.

Δόξα πλ. δ'.

Τίς μὴ ἐκπλαγῇ; τίς μὴ εἰκότως θαυμάσει; τὴν θαυμαστὴν καρτερίαν, καὶ ἀνένδοτον ἔνστασιν Νικολάου τοῦ λαμπροῦ ἀθλητοῦ; οὐδὲν γὰρ αὐτὸν τῆς τοῦ Χριστοῦ ἀγάπης χωρίσαι κατίσχυσεν· οὐ τυράννων θωπεῖαι, οὔτε μὴν ἀπειλαί, οὐ φυλακαί, καὶ βασάνων ποικιλίαι· ἀλλὰ πάντα ὑπενεγκὼν τὰ δεινά, ἑδραῖος ἐν αὐτῇ καὶ ἀκλόνητος, μέχρι τοῦ διὰ ξίφους Μακαρίου τέλους διέμεινεν· ἀλλ' ὡς νῦν πρὸς αὐτὸν στεφηφορῶν παριστάμενος ἀθλητά, ἐκτενῶς ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τυπικά, καὶ ἐκ τῶν κανόνων τοῦ Ἁγίου ᾠδὴ, γ'. καὶ ς'. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τοῦ Μεγάλου Δημητρίου, Ὀκτωβρίου κς'.

Μεγαλυνάρια.

Ὡς ἀστὴρ ἐξέλαμψας φαεινὸς, ἐκ τῆς νήσου Χίου, τῶν Μαρτύρων ἡ καλλονὴ, Νικόλαε μάκαρ καὶ πάντας καταυγάζεις, τοὺς σὲ ἀνευφημοῦντας καὶ μεγαλύνοντας.

Πρόμαχος Νικόλαε τοῖς πιστῶς, τῇ σῇ θείᾳ σκέπῃ, καταφεύγουσι καὶ φρουρὸς, γενοῦ καὶ προστάτης, ῥυόμενος εὐχαῖς σου, κινδύνων πολυτρόπων, ψυχῆς καὶ σώματος.

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΖΙΧΝΩΝ.

Κτίτορος τῆς Ἱερᾶς Μονῆς τοῦ τιμίου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου τῆς πόλεως Σερρῶν, ἐπὶ τοῦ Μενοικείου ὄρους κειμένης· οὗ ἡ μνήμη τελεῖται τῇ δεκάτῃ δευτέρᾳ Δεκεμβρίου μετὰ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Σπυρίδωνος τοῦ θαυματουργοῦ, ποιηθεῖσα ὑπὸ τοῦ μεγάλου ῥήτορος τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας Κυρίου Ἐμμανουήλ.

Ἐν τῷ μικρῷ ἑσπερινῷ, ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια. Ἦχος δ'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε ἐπιπνοίᾳ θεϊκῇ, ὁ καθηγητὴς σὸς ὁ θεῖος Ἰωαννίκιος, ἐκ βρέφους ᾠδοίδιμε, σὲ ἀνελάβετο, καὶ Θεῷ ᾠκειώσατο, ὁσίως ἐκτρέφων, ἐν παιδίᾳ πάντοτε, καὶ νουθεσίᾳ Χριστοῦ, τότε ἡ τοῦ Πνεύματος χάρις, ἐν σοὶ ἐπεφοίτησε μάκαρ, καὶ φωτὸς δοχεῖον ἀπειργάσατο.

Δίς.

Ὅτε σὲ τῷ μύρῳ τῆς σεπτῆς, καὶ θείας τῷ ὄντι ἱεραρχίας σοφὲ, ἡ χάρις ἐλάμπρυνε, τοῦ Θείου Πνεύματος, τότε πύρινος ἔνδοξε, στύλος ἀνεδείχθης, καλῶς προηγούμενος τοῦ χριστωνύμου λαοῦ, πάντας καταλλάττων τῷ Κτίστῃ, ταῖς θεοπειθέσιν εὐχαῖς σου, τοὺς σοὶ Ἰωάννῃ προσανέχοντας.

Ὑλης διασχὼν τὸ δυσαχθὲς, τῆς ἐπιχθονίου θεόφρον, πρὸς τὸ ἀνέσπερον, καὶ ζωὴν τὴν ἄπονον μετέστης ἔνδοξε· Ἰωάννη μακάριε, ἀσκητῶν τὸ κλέος, καὶ νῦν παριστάμενος ὡς ἱεράρχης Χριστῷ· πάντας ἱεραῖς σου πρεσβείαις, ἐκ κινδύνων ῥύου τοὺς πόθῳ, σοῦ τὴν φωταυγῆ μνήμην γεραίροντας.

Δόξα. Ἦχος δ'.

Ἐπέστη ἡ εὔσημος μνήμη σου, Ἰωάννη πατὴρ ἡμῶν· ὥσπερ φωσφόρος ἀστὴρ· πάντων τὰς καρδίας καταγλαΐζουσα, καὶ χαρμονικῶς πρὸς αἶνον καὶ δόξαν Θεοῦ ἐγείρουσα· ὥπερ νῦν παρεστὼς ἐκδυσώπει ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν στίχ. προσόμοια. Ἦχος ά.

Τῶν οὐρανίων ταγμάτων.

Τὸν ἱεράρχην Κυρίου θεῦτε τιμήσωμεν, Ἰωάννην τὸν θεῖον ἐν ψαλμοῖς τε καὶ ὕμνοις, καὶ γὰρ τῶν ἐπικήρων καὶ γεηρῶν νουνεχῶς κατεφρόνησε· καὶ ἀπὸ βρέφους Κυρίῳ οἰκεῖ εἰς, σκεῦος ὥφθη ἱερώτατον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Τῶν Μοναζόντων τὸ κλέος, ἡ στάθμη τῶν ἀρετῶν, ἱεραρχῶν ἁπάντων ὁ ὁμόπνους ὑμνείσθω, ἐν ᾄσμασιν ἐνθέοις, τῶν γὰρ Χριστοῦ διατάξεων, ἐν ταπεινώσει καρδίας ἐκπληρωτὴς, καὶ πιστὸς φύλαξ γεγένηται.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Νῦν. ταῖς ἀΐλοις παμμάκαρ συνὼν δυνάμεσι, καὶ σὺν αὐταῖς τῷ θείῳ παριστάμενος θρόνῳ, μέμνησο τῶν πίστει τὴν ἱερὰν, εὐφημούντων σου κοίμησιν, καὶ ἀνυμνούντων ἀπαύστως τὰ εὐκλεῆ, καὶ σεπτά σου κατορθώματα. Δόξα, Ἦχος πλ. δ'.

Πάρεστιν ἁρμοδίως τὸ θεῖον ῥῆμα, ἐν τῷ παρόντι προσφθέγξασθαι τοῦ θεοπάτορος Δαβὶδ, τίμιος γὰρ ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ, ὅθεν σου τετίμηται

Ὅσιε Ἰωάννη ἡ πρὸς Θεὸν τῆς θείας σου ψυχῆς ἀνάβασις, τὸ ἡγιασμένον δὲ σοῦ σκῆνος πρόκειται πᾶσιν εἰς ὠφέλειαν τοῖς προσιοῦσι πιστῶς. Διὸ παράσχου καὶ ἡμῖν τοῖς ὑμνοῦσί σε, παρὰ Θεοῦ φωτισμὸν καὶ ἱλασμὸν ταῖς πρεσβείαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Καὶ τὸ Ἀπολυτίκιον τοῦ Ὁσίου. Ἦχος ά.

Παθῶν τὰς σηπεδόνας τῇ ῥοῇ τῶν δακρύων σου, ἐξήρανας ἐμφρόνως Ἰωάννη πατὴρ ἡμῶν· καὶ φέγγει ἀπαθείας ἐλλαμφθείς, εἰς τὴν χαρὰν εἰσῆλθες τοῦ Κυρίου σου, ἐν ᾗ τῷ τρισηλίῳ περιχεόμενος φωτί, καταυγάζεις τοὺς πόθῳ εὐφημοῦντάς σε, καὶ ἀνυμνοῦντας τὰ σεπτά σου κατορθώματα.

Δόξα καὶ νῦν. Θεοτοκίον. Τοῦ Γαβριὴλ φθεγξαμένου σοι. Καὶ Ἀπόλυσις.

Ἐν τῷ μεγάλῳ ἑσπερινῷ ψάλλομεν τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχ. προσόμοια τοῦ Ἁγίου γ'. καὶ τοῦ Ὁσίου γ'.

Τοῦ Ἁγίου. Ἦχος πλ. ά.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις Ἀρχιερέων κανών, τῆς Ἐκκλησίας ἀδιάσειστον ἔρεισμα, τὸ κλέος τῶν ὀρθοδόξων, ἡ τῶν θαυμάτων πηγή, τῆς ἀγάπης ῥεῖθρον μὴ κενούμενον· φωστὴρ ὁ πολύφωτος, τὸ τοῦ Πνεύματος ὄργανον, ὁ νοῦς· ὁ θεῖος, ὁ πραὺς καὶ ἀκέραιος, ὁ ἁπλότητι ἀληθεῖ καλλυνόμενος, ἄνθρωπε ἐπουράνιε, ἐπίγιε Ἄγγελε, τοῦ ἀμπελῶνος ἐργάτα, ὁ τοῦ Χριστοῦ φίλος γνήσιος, αὐτὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Πρᾶος καὶ κληρονόμος τῆς γῆς, σὺ τῶν πραέων ἀληθῶς ἀναδέδειξαι, Σπυρίδων πατέρων δόξα, ὁ ταῖς νευραῖς τῶν σοφῶν, καὶ ἁπλῶν σου λόγων θείᾳ χάριτι, ἐχθρὸν τὸν παμπόνηρον, καὶ παράφρονα Ἄριον, ἐναποπνίξας, καὶ τὸ δόγμα τὸ ἔνθεον, καὶ σωτήριον, ἀνυψώσας ἐν Πνεύματι, πάντας τοὺς ὀρθοδόξους τε φωτίσας τρανώτατα, ἕνα δοξάζειν τὸν λόγον, ὡς ἀληθῶς ὁμοούσιον, πατρὶ προαναρχῳ παρεχόμενον τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Πάθη ἀπονεκρώσας σαρκὸς, νεκροὺς ἐν χάριτι Θεοῦ ἐξανέστησας, καὶ ὄφιν χρυσοῦν εἰργάσω, καὶ ποταμοῦ τὰς ὁρμὰς, προσευχῇ σου πάτερ ἐχαλίνωσας, νυκτὸς βασιλεῖ δὲ, ἐπιφανεὶς κινδυνεύοντι, τοῦτον ἰάσω, τῇ καθ' ὕπαρ ἐγγύτητι, τοῦ Κυρίου σε παραδόξως δοξάζοντος, ὅθεν μεγαλοφόνως σου, τὴν μνήμην γεραίρομεν, καὶ τῶν λειψάνων Σπυρίδων τὴν ἱερὰν κόνιν σέβομεν, ἐξ ἧς ἀναβλύζεις, ἰαμάτων θεῖα ῥεῖθρα καὶ μέγα ἔλεος.

Ἕτερα στιχ. προσόμοια τοῦ Ὁσίου. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Τὸν Σταυρόν σου ἀράμενος, τῷ Χριστῷ ἠκολούθησας, Ἰωάννη ἔνδοξε ἐκ νεότητος, καὶ ἀσφαλῆ τὰ ἐνταλίματα, αὐτοῦ τὰ σωτήρια διετήρησας καὶ νῦν· τῆς ἀληκτου λαμπρότητος, ἐμφορούμενος, φωτισμὸν καταπέμπεις καὶ εἰρήνην, τοῖς τιμῶσί σου τὴν μνήμην τὴν ἱερὰν καὶ σεβάσμιον.

Τὸν δικαίοις ὁμόσκηνον, καὶ ὁσίοις συμμέτοχον, ἱεράρχοις ἅπασι τὸν ὁμόζυγος, νῦν συνελθόντες ὑμνήσωμεν, Ἰωάννην ἄσμασι καὶ ζηλώσωμεν αὐτοῦ, τὰ σεπτὰ κατορθώματα καὶ τὴν ἄσκησιν, τὴν ἰσάγγελον ὄντως, δι' ἣν θείας χαρμοσύνης ἠξιώθη, παρὰ τοῦ πάντων δεσπόζοντος.

Τίς τοὺς πόνους καὶ κόπους σου, διηγήσαιτο Ὅσιε, οὕσπερ καθυπέμεινας γενναιότατα, εἰς τὸ πληρῶσαι τὸν ἔνθεον, πόθον ὄνπερ ἔσχηκας καὶ κατέστης πατὴρ, μοναζόντων ἀγλάϊσμα, καὶ κραταίωμα, ὅθεν σκέπε καὶ σῶζε Ἰωάννη, τὴν σὴν ποίμνην ταῖς εὐχαῖς σου, διὰ παντὸς ἀσκανδάλιστον.

Δόξα. Ἦχος πλ. δ'.

Τῶν ποιμένων ὁ ποιμήν, καὶ βασιλεὺς τῶν ὅλων Χριστὸς ὁ Θεὸς ἡμῶν, ὡς ἡγιασμένον ἐξελέξατό σε σκεῦος, εἰς ποιμαντικὴν λειτουργείαν τοῦ λαοῦ αὐτοῦ· σὺ δὲ καλῶς

τὸ ποίμνιον ἐπὶ νομὰς καθοδηγήσας σωτηρίους, ἔσπευσας αὐτῷ ἐν ἡσυχίᾳ ὁμιλῆσαι τελείᾳ, ἧς καὶ τετύχηκας Ἰωάννη μακάριε, ἀλλὰ καὶ νῦν καθαρώτερον ἐντυγχάνων αὐτῷ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν προεόρτιον. Ὁ αὐτός.

Ὑπόδεξαι, Βηθλεὲμ τὴν τοῦ Θεοῦ μητρόπολιν· φῶς γὰρ τὸ ἄδυτον ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς, Μάγοι ἐκ Περσίδος τὸ τρισόκλεον δῶρον προσκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τὸν Τρισάγιον ὕμνον μελῳδήσατε· πᾶσα πνοὴ αἰνεσάτω τὸν παντουργέτην.

Εἴσοδος. Φῶς ἱλαρόν.

Τὸ προκείμενον τῆς ἡμέρας. Τὰ ἀναγνώσματα. Ζήτει εἰς Ἱεράρχην.

Εἰς τὴν λιτὴν ψάλλομεν ἰδιόμελα στιχηρὰ τοῦ Ἁγίου τῆς Μονῆς. Ἦχος ά.

Τί σὲ καλέσωμεν, Προφῆτα, Ἄγγελον, Ἀπόστολον, ἢ Μάρτυρα, Ἄγγελον, ὅτι ὡς ἀσώματος διῆξας, Ἀπόστολον, ὅτι ἐμαθήτευσας τὰ ἔθνη, Μάρτυρα δὲ, ὅτι Σοῦ ἡ κεφαλὴ, ὑπὲρ Χριστοῦ ἐτμήθη· αὐτὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τοῦ Ἁγίου. Ὁ αὐτός

Ὅσιε Πάτερ, Μακάριε Σπυρίδων σοφὲ, τὴν νεκρὰν ὥσπερ ζῶσαν ἐπερώτας δι' ἀγάπην Θεοῦ. Ὄφιν δὲ μετέβαλες εἰς χρυσὸν, ὁ πενίαν ἀσκῶν· ῥύσιν δὲ ἐπέσχες ποταμοῦ, συμπαθήσας λαῷ. Βασιλεῖ δὲ παρέστης ἰατὴρ, τῇ προνοίᾳ Θεοῦ. Νεκροὺς δὲ πάλιν ἤγειρας, ὡς αὐτοῦ μαθητὴς, τὴν πίστιν δὲ ἐτράνωσας ἀναμέσον Πατέρων πολλῶν. Πάντα οὖν ἰσχύων ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ, αὐτὸν καὶ νῦν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός.

Ἱεραρχῶν τὸ θεῖον κειμήλιον Πάτερ Ὅσιε, Σπυρίδων σοφὲ, Σὺ ἐν ἀρεταῖς ἀναδέδειξαι. Ὅθεν τῆς ἐκκλησίας προστάλης γενόμενος, αἱρεσιάρχας ἐξώθησας, καὶ τοῦ Ἀρείου τὸ βλάσφημον συνοδικῶς εἰς γῆν κατηδάφισας· διὸ θαυματουργῶν ἐν ἔργῳ καὶ λόγῳ, τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ'.

Ὅσιε Πάτερ, ἱεράρχα ἀοίδιμε, ἀποστολικῆς διδασκαλίας, γενόμενος ἔμπλεως, καὶ τοῦ θείου Πνεύματος καταγώγιον, δι' ἐναρέτου πολιτείας ἀναδειχθείς, τῆς ἐκκλησίας τοὺς λύκους, διὰ δογμάτων ἀπήλασας. Καὶ τὴν ὀρθόδοξον πίστιν σαφῶς τρανώσας, στύλος ἀναδείκνυσαι, καὶ εὐσεβείας πρόμαχος. Ὅθεν καὶ θαυματουργῶν ἐν τοῖς πέρασιν, ὄφιν εἰς χρυσοῦν μετέβαλες, καὶ νεκρὰν πρὸς ἐρώτησιν ἤγειρας, ἀλλ' ὦ Πατέρων ἀξιάγαστε, καὶ διδασκάλων συνόμιλε, τὸν Σωτῆρα πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἰδιόμελα τοῦ Ὁσίου. Ἦχος ά.

Μνήμη δικαίου μετ' ἐγκωμίων, ὁ θειότατος φάσκει Σολομών, καθάπερ ἤδη καὶ ἐν σοὶ πεπλήρωται, Πάτερ Ἰωάννη, Ὁσίων τὸ καύχημα τῇ γὰρ ἐτησίῳ περιόδῳ ἡ μνήμη σου φθάσασα· εἰς τοὺς ἐπαίνους τοὺς σοὺς καὶ εὐφημίαι, γηθοσύνως πάντας κεκίνηκεν. Ὧν τὴν προθυμίαν καὶ τὸν ἔνθεον ζῆλον, καὶ τὰ ἐγκώμια ἱλαρῶς προσδεξάμενος, πρέσβευε Κυρίῳ ἀντιμισθίαν, παρασχεῖν αὐτοῖς καὶ ἡμῖν τὸ μέγα ἔλεος. Ὁ αὐτός.

Ὁ παντεπόπτης Κύριος καὶ Θεὸς ἡμῶν, Ἱερώτατε Πάτερ Ἰωάννη, τοὺς κόπους καὶ ἱδρῶτας σου τοὺς ἐναρέτους εὐμενῶς προσκάμενος· περισώζεσθαι τὴν ποίμνην ἐν εἰρήνῃ· ἣν συνεστήσω, ηὐδόκησεν εἰς δόξαν ἑαυτοῦ, ἀλλὰ καὶ νῦν ὡς παῤῥησίαν κεκτημένος πρὸς αὐτὸν, μὴ διαλείπῃς πρεσβεύων διὰ παντὸς, ἐν εἰρήνῃ ἀβλαβῆ φυλάττεσθαι, ἐξ ἐναντίων προσβολῶν Ἱεράρχα πανόλβιε.

Ἦχος β'.

Θαυμαστὸς ὁ Θεὸς, φησὶν, ὁ θεῖος ψαλμῳδὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ἐν γὰρ τοῖς ἰδίοις μέλεσιν ἐδόξασαν αὐτὸν, νεκρώσαντες αὐτὰ, τῆς πρὸς αὐτὸν ἕνεκεν διαπύρου ἀγάπης, δι' ἐπιπόνου ἀρετῆς. Ὅθεν τὴν τῶν θαυμάτων χάριν οὐρανόθεν κομισάμενοι, εὐεργέται

ΕΛΕΥΘΕΡΙΟΣ ΒΙΒΛΙΟΠΩΛΗΣ ΕΠΙΤΡΟΠΗΣ ΠΑΝΤΕΙΟΥ

πᾶσι τοῖς πιστῶς προσιοῦσιν ἐδείχθησαν· σὺν αὐτοῖς οὖν παριστάμενος Χριστῷ Ἰωάννη πανεύφημε, αἴτησαι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν. Ὁ αὐτὸς

Τῆς Τρισηλίου Θεότητος ἐν ψυχῇ, δεξάμενος τὴν ἀνταύγειαν, φῶς ἀναδέδειξαι μάκαρ Ἰωάννη, τοὺς προσιόντας σοι πιστῶς ταῖς διδαχαῖς σου φωτίζων ἑκάστοτε. Ὅθεν πολλοὺς τῷ λιμένι τῆς σωτηρίας προσήγαγες, διὸ καὶ ἡμᾶς τοὺς τὴν ἔνδοξόν σου μνήμην γεραίροντας τῆς τῶν σωζομένων μερίδος καταξίωσον, ταῖς πρὸς τὸν ἐλεήμονα Χριστὸν τὸν Θεὸν ἡμῶν ἱεραῖς ἱκεσίαις σου.

Δόξα. Ἦχος πλ. ά.

Ὅσιε Πάτερ Ἰωάννη θεόσοφε, εἰς πόθον θεῖον ἐλθὼν τῆς πρὸς Θεὸν ὁμιλίας ἐν ἡσυχίᾳ, τὴν ἐρημίαν ἠγάπησας, τὸν πανάγιον ἐκμιμούμενος Πρόδρομον, καὶ τὸν θεσβίτην Ἠλίαν, ὡς γὰρ ἐκεῖνος τὸ Καρμήλιον ὄρος, οὕτω καὶ σὺ τὸ Μενοικέως, ἐν αὐτῷ τὰς πρὸς Θεὸν ἀναβάσεις τῆς ψυχῆς σου ποιούμενος, ἀλλὰ τίς λόγος τὴν ἐν ταῖς προσευχαῖς σου τῶν δακρύων ροὴν παραστήσειε, καὶ τὸ τῶν γονυκλισιῶν πλῆθος. Ὅθεν ὡς Ἄγγελός τις ἐπιβιοὺς, πρὸς Χριστὸν τὸν Θεὸν ὥσπερ φῶς ἀνελήλυθας· ᾧ νῦν ἐν παῤῥησίᾳ σὺν Ὁσίοις ἀεὶ παριστάμενος, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτὸς.

Μὴ στύγναζε Ἰωσὴφ, καθαρῶν μου τὴν γνοῦν· ὄψει γὰρ τὸ τικτόμενον ἐξ ἐμοῦ, καὶ χαρίσῃ, καὶ ὡς Θεὸν προσκυνήσεις, ἡ Θεοτόκος ἔλεγε· τῷ ἑαυτῆς μνηστῆρι μολοῦσα τοῦ τεκεῖν τὸν Χριστὸν, ταύτην ἀνυμνήσωμεν λέγοντες· χαῖρε Κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος καὶ διὰ σοῦ μεθ' ἡμῶν.

Εἰς τὸν ϛιχ'. Προσόμοια τοῦ Ἁγίου.

Ἦχος ά. Νεφέλην σε φωτός.

Πανήγυρις φαιδρά, ἱερὰ πανδαισία, δεῦτε πιστοὶ μεθέξωμεν. Σπυρίδων καὶ γὰρ ἡμᾶς συγκαλεῖται, ἑστιάτωρ ὢν πνευματικός· οὗ ἡ τράπεζα θεία, ἡδέα τὰ θαύματα, αἱ πράξεις ἀθάνατοι· αὐτοῦ μιμησώμεθα τὸ πρᾶον τὸ ἄκακον. τὸ ἁπλοῦν, τὸ φιλάνθρωπον, τὸ περὶ πάντας σῶφρον· ἐν οἷς ἐν Ἀρχιερεῦσιν, ὡς φῶς ἐξέλαμψεν.

Τίμιος ἐναντίον Κυρίου.

Μεγίστων ποιητὴς, ἀρετῶν καὶ θαυμάτων ἀνεδείχθης, Σπυρίδων σοφέ. Ταῖς μέν τοι καταφαιδρύνας τὸν βίον, ὥσπερ φέγγος τὸ Ἡλιακὸν, τοῖς δὲ καταλαμπρύνας κόσμον τὸν περίγειον, ὑπὲρ ἀστραπὰς οὐρανοῦ. Ἀμφοῖν ὡραιότατος δεικνύμενος Ὅσιε· τοῖς προσφεύγουσιν ἐν πίστει, ταῖς προστασίαις σου.

Οἱερεῖς σου Κύριε ἐνδύσονται.

Ὦ θαύματος φρικτοῦ· ἡ νεκρὰ πυθομένῳ, φωνὴν ζῶσάν σοι δέδωκεν· ὁ ροῦς δὲ τοῦ ποταμοῦ ἀνεστάλη, διὰ λόγου σου προστακτικοῦ· ἡ τοῦ ἄνακτος νόσος, εὐχῇ σου φυγαδεύεται· ὁ ὄφις εἰς εἶδος χρυσοῦ ἀντιμετηλλάττετο. Νεκροὶ ἐξηγέρθησαν· ἐνήργει γὰρ ἐν σοὶ ὁ Χριστὸς, Σπυρίδων ἱερουργέ, ὁ τῆς Τριάδος τὸ δόγμα ἀνακηρύξας τρανῶς.

Δόξα. τοῦ Ὁσίου. Ἦχος γ'.

Ἀγγελόμορφος Πάτερ, ὁ τοὺς τρόπους ἐζηλωκὼς τοῦ θείου Βαπτιστοῦ, τοῦ τῆς ἐρήμου ἐλαστήματος, οὗπερ καὶ διάπυρος ἐραστὴς χρηματίσας, ναὸν περικαλλῆ ἀνεδομήσω αὐτῷ, καὶ ψυχῶν σωτήριον μάνδραν ἀπετέλεσας· καὶ νῦν σὺν τοῖς ἄνω λυτουργοῖς· τῷ τῶν ἁπάντων βασιλεῖ καὶ Θεῷ παριστάμενος, καὶ ταῖς ἐκείθεν ἀστραπαῖς ἐλλαμπόμενος, καταύγασον καὶ ἡμῶν τὰ τῆς ψυχῆς καὶ σώματος αἰσθητήρια, τῶν ἐκ πόθου τελούντων τὸ ἱερόν σου μνημόσυνον.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.

Ἰωσὴφ εἰπὲ ἡμῖν, πῶς ἐκ τῶν Ἁγίων ἣν παρέλαβες Κόρην, ἔγκυον φέρεις ἐν Βηθλεέμ; Ἐγὼ φησὶ τοὺς Προφήτας ἐρευνήσας, καὶ χρηματισθεὶς ὑπὸ Ἀγγέλου, πέπεισμαι ὅτι Θεὸν γεννήσει ἡ Μαρία ἀνερμηνεύτως. Οὗ εἰς προσκύνησιν, Μάγοι ἐξανατολῶν ἥξουσι, σὺν δώροις τιμίοις λατρεύοντες· ὁ σαρκωθεὶς δι' ἡμᾶς Κύριε δόξα σοι.

Ἀπολυτίκιον τοῦ Ἁγίου. Ἦχος ά.

Τῆς Συνόδου τῆς πρώτης ἀνεδείχθης ὑπέρμαχος, καὶ θαυματουργὸς θεόφορε Σπυρίδων πατὴρ ἡμῶν. Διὸ νεκρὰν σὺ ἐν τάφῳ προσφωνεῖς, καὶ ὄφιν εἰς χρυσοῦν μετέβαλες· καὶ ἐν τῷ μέλπειν τὰς ἁγίας σου εὐχὰς, Ἀγγέλους ἔσχες, συλλειτουργοῦντάς σοι ἱερώτατε· δόξα τῷ σὲ δοξάσαντι· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάμασιν.

Ἕτερον τοῦ Ὁσίου. Ὁ αὐτός.

Παθῶν τὰς σηπεδόνα τῇ ροῇ ὧν δακρύων σου, ἐξήρανας ἐμφρόνως Ἰωάννη πατὴρ ἡμῶν· καὶ φέγγει ἀπαθείας ἐλλαμφθεὶς, εἰς τὴν χαρὰν εἰσῆλθες τοῦ Κυρίου σου, ἐν ᾗ τῷ Τρισηλίῳ περιεχόμενος φωτὶ, καταυγάζεις τοὺς πόθῳ εὐφημοῦντάς σε, καὶ ἀνυμνοῦντας τὰ σεπτά σου κατορθώματα.

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι.

Εἰς τὸν Ὄρθρον μετὰ τὴν ά. στιχολογίαν. Κάθισμα τοῦ Ἁγίου. Ἦχος γ'.

Τὴν ὡραιότητα.

Ὄφιν μετέβαλες εἰς χρυσὸν Ἅγιε· καὶ ταῖς τῶν λόγων σου νευραῖς ἀπέπνιξας, τὸν δυσεβῆ καὶ πονηρὸν, Ἄρειον Θεοφόρε· βασιλεῖ δὲ γέγονας ἰατρὸς παναοίδιμε, καὶ νεκροὺς ἐξήγειρας, δαίμονάς τε ἀπήλασας. διό σου συνελθόντες ὑμνοῦμεν, ἱεράρχα τὴν μνήμην τὴν πάντιμον.

Δόξα. Ἕτερον Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τοῖς λόγοις ἐκόσμησας, τὴν Ἐκκλησίαν Χριστοῦ, τοῖς ἔργοις ἐτίμησας τὸ κατ. εἰκόνα Θεοῦ· Σπυρίδων μακάριε ἔλαμψας ἐν τῷ κόσμῳ, τῇ ἐν σοὶ σωφροσύνῃ, χάριτας ἰαμάτων ἀπαστράπτων τοῖς πᾶσι· διὸ καὶ ἑορτάζομεν πίστει τὴν μνήμην σου.

Καὶ νῦν. Προέρτιον. Ὁ αὐτός.

Παρθένοι προεξάρξατε, τῇ τῆς Παρθένου χαρᾷ, μητέρες αἰνέσατε, τὴν προπομπὴν τῆς μητρὸς· Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Μάγοι σὺν τοῖς Ἀγγέλοις, σὺν ἡμῖν οἱ ποιμένες ἔρχεται γὰρ ἐν πόλει, Βηθλεὲμ τοῦ γεννῆσαι, αὐτῆς ταῖς ἱκεσίαις σῶσον ἡμᾶς ὁ Θεός.

Εἰς τὴν ϛ'. στιχολογίαν κάθισμα τοῦ Ὁσίου. Ἦχος δ'· Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν μοναστῶν τὸ ἱερὸν χαρμοσύνως, σύστημα ἅπαν συνελθὸν Ἰωάννην, τὸν εὐκλεῆ τιμήσωμεν ὕμνοις καὶ ᾠδαῖς, οὗτος γὰρ ὡς ἄσαρκος ἐπὶ γῆς βιωτεύσας· σκεῦος ἀναδέδεικται Πνεύματος τοῦ Ἁγίου· καὶ νῦν πρεσβεύει Χριστῷ ἐκτενῶς, ὑπὲρ τῶν πίστει τελούντων τὴν μνήμην αὐτοῦ.

Δόξα. Ὅμοιον.

Τῶν ἐντολῶν τοῦ Κυρίου ἐδείχθης φύλαξ ὁμοῦ, καὶ πληρωτὴς Ἰωάννη, καὶ πᾶσι τοῖς προσιοῦσί σοι διδάσκαλε, λόγοις τε καὶ πράγμασι πρὸς σωτήριον ὅρμον· ὅθεν συναρίθμιος τοῖς ὁσίοις ἐγένου, μεθ' ὧν πρέσβευε πάντοτε Χριστῷ, ὑπὲρ τῆς ποίμνης τῆς σῆς τιμώσης σε.

Καὶ νῦν. Θεοτοκίον.

Τῶν ἀκαθάρτων λογισμῶν μου τὰ πλήθη, καὶ τῶν ἀτόπων ἐννοιῶν τὰς νιφάδας, τίς ἐξειπεῖν δυνήσεται Πανάμωμε, τὰς ἐπαναστάσεις δὲ, τῶν ἀσάρκων ἐχθρῶν μου· τίς ἐκδιηγήσεται, καὶ τὴν τούτων κακίαν, ἀλλὰ τῇ σῇ πρεσβείᾳ ἀγαθὴ, τούτων μοι πάντων τὴν λύτρωσιν δώρησαι.

Μετὰ τὸν πολυέλεον. Κάθισμα τοῦ Ἁγίου.

Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Ἀνακτόροις καὶ μύσταις θεοπρεπῶς, ἐν συλλόγῳ πανσέπτῳ φιλοσοφῶν, τρανῶς διεσάφησας, τῆς τριάδος τὴν δύναμιν, ἀῤῥήτως μάκαρ ὤφθης, ἑνάδος ἰσότιμος· καὶ ἐν μιᾷ οὐσίᾳ σαφῶς ἐδογμάτισας. Ὅθεν ὑπὲρ λόγων, κατ' ἐπίπνοιαν θείαν, καθῆλες τὸν φλίαρον, τῇ δυνάμει τοῦ Πνεύματος· ἱεράρχα θεσπέσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι· τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα τοῦ Ὁσίου. Ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Τῆς σαρκὸς τὸ ἐμπαθὲς, ἄτακτον κίνημα σοφὲ, καταμαράνας ἐν πολλαῖς, ἀσκητικαῖς διαγωγαῖς, τὸν ἐμφολεύοντα ἐν τούτῳ Βελίαρ, τέλειον εἰς γῆν κατηδάφισας, καὶ τὰς μηχανὰς κατεπάτησας, καὶ καθαρὸν σκεῦος Χριστοῦ γενόμενος, διαφυλάττεις τοὺς τιμῶντάς σου, τὸν πάνσεπτον καὶ θεῖον οἶκον, Ἰωάννη μακάριε.

Καὶ νῦν Θεοτοκίον.

Κατεπλάγη Ἰωσὴφ τὸ ὑπὲρ φύσιν θεωρῶν· καὶ ἐλάμβανεν εἰς νοῦν τὸν ἐπὶ πόκον ὑετὸν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε· βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε, Παρθένος τίκτει, καὶ μετὰ τόκον πάλιν μένει Παρθένος.

Οἱ ἀναβαθμοί, τὸ ά. ἀντίφωνον τοῦ δ΄. ἦχου. Προκείμενον. Ἦχος δ΄. στιχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Τὸ Πᾶσα ποή. Εὐαγγέλιον κατὰ Ἰωάννην. Εἶπεν ὁ κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας. Ζήτει Νοεμβρίου 13. ὁ Ν΄. ψαλμός.

Δόξα. Ταῖς τῶν σῶν Ὁσίων πρεσβείαις ἐλεήμων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεήμον. Ἐλεησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Καὶ τὸ ἰδιόμελον τοῦ Ὁσίου. Ἦχος πλ. δ΄.

Ἱεραρχῶν περιφανὲς ἀγλάϊσμα καὶ κλέος, ἡ δόξα τῶν Ὁσίων καὶ ἀσκητῶν ἐγκαλλώπισμα μέγιστον· συνελθόντες οὖν φιλόσεμνοι, τῷ παγκοσμίῳ φωστῆρι βοήσωμεν λέγοντες. Χαίροις τῶν μοναζόντων φωστὴρ καὶ πρόμαχος ατερρὸς, καὶ τύπος ἀκριβέστατος· χαίροις ἀστὴρ διαυγέστατος, ὁ δαδουχῶν τὰ πέρατα τῇ αἴγλῃ τῶν ἀγώνων σου. Χαίροις τῶν ἀσκουμένων ἐν τῷ ὄρει Μενικέως, πατὴρ καὶ ποδηγέτης καὶ θεῖος ἀντιλήπτωρ· καὶ νῦν θεόφρον Πατὴρ ἡμῶν μὴ ἐλλείπῃς πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῆς ποίμνης σου ταύτης, ἣν πόθῳ ἀνήγειρας.

Οἱ κανόνες. Ὁ κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς ς΄. Τοῦ Ἁγίου εἰς δ΄. Καὶ τοῦ Ὁσίου εἰς δ΄. Ὁ κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς. Ὑμνῶ χαριτώνυμον ὄντως Ποιμένα. Μανουήλ.

Ἦχος πλ. δ΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ὑπὸ ἀχλὺς πταισμάτων τὸ ὀπτικὸν, τῆς ψυχῆς θολούμενον, τῆς ἐμῆς τῇ φωταυγῇ, σῇ πρεσβείᾳ λάμπρυνον σοφὲ, ὅπως μέλψω τὴν φαιδρὰν καὶ θείαν μνήμην σου.

Μνήμη δικαίου σὺν λόγῳ πανευκλεῶς· ἐγκωμίων ᾄδεται· ὥσπερ ἔφη Σολομὼν, Ἰωάννη σθεν καὶ τὴν σὴν, ἐγκωμίοις ἱεροῖς μνήμην γεραίρομεν.

Νοῦν ἡγιάσθης ἐκ βρέφους ὡς Σαμουὴλ, θεῖόν τε ἀνάθημα, ἀνατέθεισαι Θεῷ, καὶ καρπὸν προσήγαγες αὐτῷ, Ἰωάννη μοναστῶν στέφος σεβάσμιον. Θεοτοκίον.

Τὸν ἑαυτῆς δεξαμένη δημιουργὸν, ὡς αὐτὸς ἠθέλησεν, ἐξ ἀσπόρου σου γαστρὸς, ὑπὲρ νοῦν σαρκούμενον Ἁγνὴ, τῶν κτισμάτων ἀληθῶς ἐδείχθης Δέσποινα.

Ὠδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Χαρίτων τέμενος σεπτῶν, τῆς ἀκτίστου Τριάδος· καὶ Ὁσίων τερπνότης, ἀνεδείχθης τοὺς πιστοὺς, πρὸς τρίδων καθοδηγῶν, ἱεράρχα τὴν εἰς Θεὸν ἄγουσαν.

Ἀπὸ νεότητος σοφὲ, τὸν ἰσάγγελον βίον, ἐξελέξω καὶ ποίμνην, συνεστήσω καὶ ναὸν τοῦ δι' ἡμᾶς Ἰησοῦ, ἐκ Παρθένου ἀῤῥήτως ἐκλάμψαντος.

Ῥήμασι κατεμπεδοθείς, τοῦ σοῦ Πάτερ ποιμένος, ἐπτερώθης πρὸς πόθον, ἀνεγείραι τῷ Χριστοῦ Προδρόμῳ καὶ Βαπτιστῇ, σηκὸν θεῖον, μοναστῶν εἰς καύχημα.

Θεοτοκίον.

Ἱλύος Κόρη κοσμικῆς, τὸν παναθλιον νοῦν μου, ἐξαπάλλαξον θᾶττον, καὶ πρὸς πόθον τοῦ Θεοῦ, διέγειρον ἀγαθὴ, καὶ φωτί σου τῷ θείῳ καταύγασον.

Κάθισμα τοῦ Ἁγίου. Ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ λόγον

Ἐκ ποιμνίου προσάτων ἐπιστατεῖν, τὴν Χριστοῦ Ἐκκλησίαν προχειρισθείς, ποιμὴν θεοπρόβλητος, σὺ Σπυρίδων ἀνέλαμψας, κακοδοξίας λύκους, ἐλάσας τοῖς λόγοις σου, ἐν εὐσεβείας πόᾳ· αὐτὴν ἐκτρεφόμενος, σθεν ἀνὰ μέσον Θεοφόρων πατέρων, τὴν πίστιν ἐτράνωσας, ἐν σοφίᾳ τοῦ Πνεύματος, ἱεράρχα μακάριε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Τοῦ Ὁσίου ὅμοιον.

Ἀποστὰς τῶν γηΐνων πάτερ σοφὲ, ἀπὸ βρέφους καθάπερ νέον φυτὸν, ἐν οἴκῳ πεφύτευσαι τοῦ Κυρίου ἐν χάριτι, πνευματικαῖς ἀρδείαις, ἀεὶ αὐξανόμενος. Ὅθεν καὶ εἰς δένδρον, πλῆρες ἄνθους εὐώδους, μάκαρ ἀνελήλυθας, καὶ καρπὸν πολὺν ἤνεγκας, διὰ τοῦτο βοῶμέν σοι, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν Ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε Κόρη καθέδρα βασιλικὴ, κλίνη πορφυρόστρωτε· χρυσοπόρφυρε θάλαμε· χλαμὺς ἀλλουργόχροε, τιμαλφέστατον τέμενος· ἁστραπηφόρον ἅρμα· λυχνία πολύφωτε· χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε· καὶ παστὰς ἀγλαόμορφε· ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα· χαῖρε ἔνδοξε νύμφη Ἠλιοστάλακτε· χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Τίς σου τὸν ἔνθεον, ζῆλον πανένδοξε, Ἰωάννη ἐξείποι, καὶ τοὺς πολλοὺς κόπους, οὓς διήνεγκας, ὑπὲρ ναοῦ, ὄνπερ λαμπρῶς τῷ σεπτῷ Προδρόμῳ ἤγειρας.

Ὡς μέγα φρούριον ψυχῶν καὶ καύχημα, καὶ θρεμμάτων Παμμάκαρ τῶν λογικῶν, φαιδρὸν οἰκητήριον ἡ πόλις ἔχει τῶν Σερρῶν, τὴν Μονήν τὴν σὴν ἐγκόλπιον· Ναὸς γεγένησαι τοῦ θείου Πνεύματος, ἀρετῶν ἀγλαΐαις ἐμφαιδρυνθείς, Ἰωάννη ἔνδοξε, Ἀρχιερέων καλλονὴ, καὶ τῶν Ὁσίων περιήχημα. Θεοτοκίον.

Ὑπεραένστηκας, αὐλων τάξεων, ἀσυγκρίτως Παρθένε, τὸν γὰρ Υἱὸν, τὸν φύσει ὁμότιμον Πατρὶ καὶ Πνεύματι Ἁγνὴ, ἀπορῥήτως ἐσωμάτωσας.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Μεγάλης ἄνωθεν καὶ λαμπρᾶς, ἔτυχες μοιρᾶς ὑπερφυῶς, Θεόφρον πάτερ τοῖς ἔργοις σου, συνεφαπτομένοις καὶ κατορθώμασι, δι' ἀρετῆς ἀκρώρειαν ἀνηκούσης σοι.

Νυμφῶνα Πάτερ ἐν οὐρανοῖς, ὄντως εἰσελήλυθας λαμπρὸν, σὺν ταῖς φρονίμοις νεάνισι, τὴν λαμπάδα ἄσβεστον τῆς ἁγνείας σου, τηρήσας Ἰωάννη θεομακάριστε.

Ὅσοι τῆς σῆς ποίμνης τῶν μοναστῶν, δῆμος συνελθόντες ἐν τῇ σῇ μνήμῃ λαμπρῶς ἀνυμνοῦσί σου τὴν ἀγγελικήν τε διαγωγὴν καὶ σπουδὴν, δι' ἧς τὴν μακαρίαν εὗρες ἀπόλαυσιν. Θεοτοκίον.

Νοὸς ἀνάρχου τε καὶ Πατρὸς, ὁ Λόγος καὶ τέλειος Θεὸς, ἐν σοὶ πανάμωμε ᾠκησε· καὶ τῇ παραβάσει φθαρεῖσαν πρότερον, τὴν βρότειον οὐσίαν Κόρη ἀνέπλασε.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Τρισηλίου λάμψεσιν, αὐγαζόμενος φωτὸς, τοῦ ἀπροσίτου, ᾧπερ νῦν, Ἰωάννη, παρίστασαι εὐκλεῶς, ἀεὶ καθικέτευε, ὑπὲρ τῆς ἱερᾶς σου ποίμνης Ὅσιε.

Ὡς λειμὼν ἡ ποίμνη σου, ἀναθάλλει καὶ φυτὰ, περιέχει πανεύοσμα, τὰ τέκνά σου Παμμάκαρ τοὺς Μοναστὰς, οὕσπερ διαφύλαττε, ἀπὸ πάσης ἀνάγκης ταῖς πρεσβείαις σου.

Σταυρὸν συμῤῥαξάμενος, παντευχίᾳ μυστικῇ, τοὺς ἀοράτους ἔτρεψας, δυσμενεῖς Θεοφόρε καὶ φωτεινὸν, οἴκημα γεγένησαι, τῆς ἀκτίστου Τριάδος, ᾗ παρίστασαι.

Θεοτοκίον.

Πανύμνητε Δέσποινα, ἡ τεκοῦσα ἐν σαρκὶ, τὸν ποιητὴν τῆς κτίσεως, κακώσεώς με

ῥῦσαι καὶ συμφορᾶς, τὸν ἀεὶ ἐλπίζοντα, τῇ πολλῇ καὶ ἀφάτῳ εὐσπλαγχνίᾳ σου.

Κοντάκιον τοῦ Ἁγίου. Ἦχος δ'.

Τὰ ἄνω ζητῶν.

Τῷ πόθῳ τρωθεὶς Χριστοῦ ἱερώτατε, τὸν νοῦν πτερωθεὶς τῇ αἴγλῃ τοῦ Πνεύματος, πρακτικῇ θεωρίᾳ τὴν πρᾶξιν εὗρες θεόληπτε· θυσιαστήριον θεῖον γενόμενος, αἰτούμενος πᾶσι θείαν ἔλαμψιν.

Ὁ οἶκος.

Τὸν ἐκ κοιλίας ἡγιασμένον Ἱεράρχην Κυρίου, ἀνευφημήσωμεν νῦν Σπυρίδωνα, τὸν τῆς χάριτος πλάκας δεξάμενον θείας δόξης, καὶ ἐν θαύμασι περιβόητον πᾶσι, καὶ ὡς θερμὸν καὶ αὐτόπτην τῆς θείας ἐλλάμψεως, ὡς τῶν πενήτων προστάτην, καὶ τῶν ἁμαρτανόντων ψυχαγωγόν· οὗτος γὰρ θείῳ βουλήματι Ἱεράρχης πιστὸς ἀναδέδεικται, αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν.

Ἕτερον τοῦ Ὁσίου, Ἦχος δ',

Ἐπεφάνης σήμερον.

Ἡ σεπτὴ καὶ ἔνδοξος μνήμη σου Πάτερ. Ἰωάννην ηὔγασε, τὰς διανοίας τῶν πιστῶν, καὶ πρὸς Θεοῦ δόξαν ἤγειρεν, ὃν ἐκδυσώπει ἀεὶ ὑπὲρ τῆς ποίμνης σου.

Ὁ οἶκος.

Ὁ τῇ ἀπείρῳ σου σοφίᾳ, τοὺς σοὺς Ἀποστόλους φωτίσας, καὶ ἐξ ἰδιωτῶν καὶ ἀγραμμάτων σοφοὺς καὶ ἀκαταγωνίστους ἐργασάμενος. Χριστὲ ὁ Θεὸς ἡμῶν, αὐτὸς διὰ τῶν οἰκτιρμῶν σου τὸ πέλαγος, φώτισον κἀμοῦ τῆς διανοίας τὰ ὄμματα, ἵνα ὑμνήσω τὸν σὸν θεράποντα Ἰωάννην, τὸν ἐπὶ γῆς σε πολυειδῶς δοξάσαντα ἀρετῇ, καὶ ὁδηγὸν πρὸς σωτηρίαν πολλῶν γενόμενον. Ὃν καὶ νῦν πρὸς τὴν σὴν ἀγαθότητα μεσίτην προβαλλόμεθα, δυσωποῦντα ἀεὶ ὑπὲρ τῆς ποίμνης σου.

Τῷ αὐτῷ μηνὶ ιϐ'. μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Σπυρίδωνος τοῦ θαυματουργοῦ.

Ὁ θαυματουργὸς κἂν τέθνηκε Σπυρίδων.
Τοῦ θαυματουργεῖν οὐκ ἔληξεν εἰσέτι.
Ἀμφὶ δυοδεκάτην Σπυρίδων βίοτον λίπεν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἰωάννου Μητροπολίτου Ζιχνῶν, καὶ κτίτορος τῆς ἱερᾶς καὶ σεβασμίας Μονῆς τοῦ Τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῆς κατὰ τὸ Μενοίκειον ὄρος κειμένης.

Ἐγκωμιαστὴν οἰκοθεν πλουτεῖς Πάτερ.
Τῆς σῆς τελευτῆς σοῦ τὸν τῆς Μονῆς πόνον.
Χριστὸν βιώσας μέχρι καὶ τέλους βίον.
Θραύει πονηροῦ πᾶν Ἰωάννης θάρσος.
Ἰωάννην καὶ τεθνηκότα ζῆν λέγω.
Οἱ γὰρ δίκαιοι ζῶσι καὶ τεθνηκότες.

Οὗτος ὁ θεοφόρος Πατὴρ ἡμῶν Ἰωάννης ἦτο μὲν εἰς τοὺς χρόνους τοῦ Ἀνδρονίκου, τοῦ πιστοῦ βασιλέως καὶ Αὐτοκράτορος Ῥωμαίων· ἐγεννήθη δὲ ἀπὸ γονεῖς εὐσεβεῖς, ἐπειδὴ δὲ μὴ φθάσας τοὺς δύο χρόνους ἀπέμεινεν ὀρφανὸς, τῶν ἑαυτοῦ στερηθεὶς γονέων· ὁ ἀπὸ τὸν πατέρα αὐτοῦ θεῖος, τὴν κλῆσιν Ἰωαννίκιος, ἔλαβεν αὐτὸν μεθ' ἑαυτοῦ, καὶ ἀνεθρέψας ἐπιμελῶς, καὶ διδάξας τὰ ἱερὰ γράμματα, καὶ παιδεύσας τὰς πνευματικὰς νουθεσίας, ἐκούρευσεν αὐτὸν Μοναχὸν, καὶ εἰς τὴν ἑαυτοῦ κέλλαν ἔχων συνδιατρίβοντα, τὸν μονήρη βίον ἐπαίδευεν· ὁ δὲ πατὴρ ἡμῶν Ἰωάννης, ὡς ἄλλός τις Σαμουὴλ ἁγιασθεὶς τὸν νοῦν ἐξ αὐτῆς τῆς βρεφικῆς ἡλικίας, ἢ καθ' ἃ λέγεται, ἐξ ἁπαλῶν τῶν ὀνύχων ὅσον τε ἐπαιδεύετο τὰ θεῖα μαθήματα, καὶ τὴν εὐκοσμίαν τῶν ἠθῶν, καὶ τὴν ἄλλην κατάστασιν τῶν Μοναχῶν, καὶ ὅσον ηὔξανε μὲ τοιαύτην ἐπαινετὴν καὶ θεοφιλῆ ἡλικίαν, τόσον κατὰ τὸν Ἰσαὰκ, καὶ εἰς τὴν ἀρετὴν ἐπεδίδου τε καὶ ἐπρόκοπτεν· ἱκανῶς δὲ τὴν διὰ πράξεως ἀσκήσας φιλοσοφίαν, καὶ δι' αὐτῆς, ὡς διὰ κλίμακος εἰς τὴν θεωρίαν τῶν ὄντων προβαίνων, καὶ αὐτὴν δὲ τὴν τῶν ἀρετῶν ἀκρόπολιν φθάνων· ἐδέχθη καὶ τὸ τῆς ἱερωσύνης ἀξίωμα, εἴς καὶ αὐτὸς ἀπὸ τοὺς ἐγγίζοντας εἰς τὸν ἐγγίζοντα Θεὸν γενόμενος. Ἐπειδὴ δὲ κατὰ θείαν οἰκονομίαν καὶ λαοῦ προεδρίαν νὰ ἐμπιστευθῇ ἔμελλεν, ὡσὰν

ὁποῦ ἡ θεία βουλὴ καὶ πρόγνωσις, ἡ ὁποία κατὰ τὴν γνώμην τοῦ Θεολόγου, πόρρωθεν καταβάλλεται τὰς ὑποθέσεις τῶν μεγάλων πραγμάτων, δὲν θέλει τὰς τοιαύτας τῶν ἀρετῶν πόλεις, ὁποῦ κεῖνται εἰς ὑψηλὰ ὄρη, νὰ κρύπτωνται· οὔτε τοὺς τοιούτους φαεινοὺς λύχνους ὑπὸ τὸν μοδιον νὰ σκεπάζωνται· ᾠκονόμησε νὰ ἀναβιβασθῇ εἰς τὸν Ἀρχιερατικὸν θρόνον, καὶ ἐντεῦθεν, ὡς ἀπὸ ὑψηλοτάτης σκοπιᾶς, νὰ φαίνεται ὁ τοιοῦτος κεκοσμημένος τοῦ Θεοῦ οἶκος, καὶ λύχνος ὁ φωταυγέστατος. Δέχεται λοιπὸν εἰς ἀμοιβὴν τῶν κόπων τῆς ἀρετῆς του, τὴν διοίκησιν τῶν πηδαλίων τοῦ ἐπισκοπικοῦ θρόνου Ζιχνῶν· ἀλλ' ἐνταῦτα ἐρχόμενος, καλῶς ἐνεθυμήθην νὰ διηγηθῶ, καὶ πῶς ὁ ῥηθεὶς θεῖος αὐτοῦ τὸν ἐσυγχώρησε νὰ ἀρχιερατεύσῃ· οὐ μικρὸς γὰρ ἔπαινος, καὶ τοῦτο, τῆς ὑπερβαλλούσης του ὑπακοῆς τε καὶ εὐπειθείας, ὁποῦ εἶχεν εἰς τὸν θεῖον καὶ προεστῶτά του. Οἱ ἀπὸ Ζίχνας Χριστιανοί, κρίναντες ὑπέρ τινα ἄλλον διὰ ποιμένα τους τὸν θεοφόρον τοῦτον ἡμῶν Πατέρα, ἦλθον εἰς αὐτὸν, καὶ τὸν ἐζήτουν μετὰ θερμῆς παρακλήσεως, νὰ συγκατανεύσῃ εἰς τὴν αἴτησίν τους, καὶ δεχόμενος τὴν ποιμαντικήν τους οἰκονομίαν, νὰ γένῃ Ἀρχιερεύς των· ὁ δὲ, κατὰ πάντα καὶ διὰ πάντα πειθόμενος εἰς τὸν θεῖόν του, ἔπεμψεν αὐτοὺς εἰς αὐτὸν, νὰ ζητήσουν τὴν παρ' αὐτοῦ ἄδειαν· ὁ δὲ θεῖός του οὐδὲ ὑπέφερε τὴν ἀκοὴν, οὐδὲ ἔστερξε τὸ τοιοῦτον, ἀλλ' ἔστεκεν, ἐναντιούμενος, καὶ παντάπασι δὲν ἐσυγκατεύνευεν, ὄχι δι' ἄλλο αἴτιον, παρὰ διὰ τί ἐφοβεῖτο, μήπως, δίδων ὅλον τὸν ἑαυτόν του εἰς τὴν φροντίδα τῆς ἐπισκοπῆς, ἀργὴν καὶ ἄπρακτον ἀποκτίσῃ τὴν προαίρεσίν του, εἰς τὸ νὰ ἔχῃ κάθε πρόνοιαν καὶ ἐπιμέλειαν εἰς αὐτὴν τὴν Μονήν· καὶ ὅτι οὕτως ἔχει ἡ ἀλήθεια, καὶ ἡ προαίρεσις τοῦ Γέροντος τοῦτο ἤθελεν εἶναι, δῆλον ἐκ τούτου, διὰ τί ἐκεῖνος ὁ θεῖος Γέρων τότε ἐσυγκατένευσεν, τότε ἐδέχθη τὴν αἴτησιν τῶν ἑλκόντων, ὅταν ἔλαβεν ἔγγραφον παρ' αὐτοῦ ὁμολογίαν, πῶς καὶ ζῶντος καὶ μετὰ θάνατον τοῦ θείου του νὰ φροντίζῃ, καὶ νὰ ἐπιμελῆται ταύτης τῆς ἱερᾶς Μονῆς· ἀλλ' ἀφοῦ Ἀρχιερεὺς ἔγινε, ποῖος νοῦς νὰ ἐννοήσῃ, ἢ ποία χεὶρ νὰ γράψῃ, ἢ ποία γλῶσσα νὰ διηγηθῇ τοὺς κόπους, τοὺς μόχθους, τὰς ἀγρυπνίας, τὰς ὁποίας ἔκαμνε διὰ τὴν διοίκησιν, καὶ κυβέρνησιν τοῦ ἐμπιστευθέντος αὐτῷ ποιμνίου, οὐκ ἐδίδου ὕπνον τοῖς ὀφθαλμοῖς κατὰ τὸ Δαβτικὸν, οὐδὲ ἀνάπαυσιν τοῖς κροτάφοις, ἀλλὰ πάντα καὶ ἐποίει, καὶ ἔλεγε διὰ τὴν σωτηρίαν τῶν ψυχῶν τοῦ ποιμνίου του, ὁ σκοπὸς του ἄλλος δὲν ἦτο, παρὰ τὸ νὰ καθοδηγῇ τὸ ποίμνιόν του εἰς τὰς σωτηρίους νομὰς, καὶ τὸ νὰ διαφυλάττῃ ἀπὸ τοὺς ὀδόντας τοῦ νοητοῦ λύκου ἀβλαβὲς καὶ ἀλύμαντον, νῦν μὲ διδασκαλίας, νῦν δὲ μὲ ἀπειλὰς, ἐνόων τὸ πικρὸν μὲ τὸ γλυκὺ κατὰ τοὺς τῶν ἰατρῶν ἐπιστήμονας. Τοιαύτην προστασίαν τοῦ ποιμνίου του μετεχειρίζετο, καὶ μολονότι καὶ τῆς ἐπὶ τὴν Μονὴν αὐτοῦ ἐπιμελείας δὲν ἀπελείπετο, καί τοι ζῶντος ἔτι τοῦ θείου του. Τοῦτου δὲ ἀποδημήσαντος εἰς τὸν ποθούμενον Κύριον, ἐσαγγέλῳ πολιτείᾳ τὸν βίον αὐτοῦ διανύσαντος, ὁ ὅσιος οὗτος Πατὴρ ἡμῶν Ἰωάννης, κάμνων παραίτησιν τῆς ἐπισκοπῆς του, ἔμεινεν εἰς αὐτὴν τὴν ἱερὰν Μονὴν τοῦ Προδρόμου κατὰ τὴν ἔγγραφον αὐτοῦ πρὸς τὸν θεῖόν του ὑπόσχεσιν, καὶ Ἰωάννης μοναχὸς διὰ τοῦ θείου καὶ Ἀγγελικοῦ σχήματος μετεκλήθη, τὴν ὁποίαν θείαν Μονὴν διεδέχθη εἰς κλῆρον θεῖον παρὰ τοῦ θείου του. Εὑρίσκων οὖν αὐτὴν ἐπιμελουμένην ἕως εἰς τὸ Παρεκκλήσιον, ὁποῦ τὴν σήμερον παλαιὸς Πρόδρομος ὀνομάζεται. Τοῦτον μόνον τὸν ναὸν ἔχουσαν, καὶ κέλλας τινὰς, εἰς μοναδικὴν κατοικίαν τῶν παρὰ τοῦ θείου του συναχθέντων ἱερῶν ἀνδρῶν. Οὕτως οὖν ταύτης ἐχούσης, ναὸν ἕτερον μέγαν, εἰς καθολικὸν αὐτὸν τὸν φαινόμενον ἀπὸ αὐτὰ τὰ θεμέλια ἀνήγειρεν εἰς ὄνομα τοῦ Τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ, καὶ παγκάλως καὶ πολυειδῶς ἐκαλλώπισε μὲ λαμπρὰς καὶ ὡραίας εἰκόνας,

καὶ μὲ πολλὰ ἱερά, σκεύη, καὶ μὲ ἄλλα διάφορα ἀναθήματα. Ὠκοδόμησε δὲ καὶ τράπεζαν, διὰ νὰ τρώγωσιν οἱ εὑρισκόμενοι Πατέρες καθὼς ἀπαιτεῖ τὸ κοινόβιον εἰς δόξαν Θεοῦ· τρέξας δὲ καὶ εἰς τὸ ἔλεος τῶν τότε εὐσεβεστάτων αὐθέντων καὶ βασιλέων Ἀνδρονίκου λέγω τοῦ πιστοῦ βασιλέως Ῥωμαίων τοῦ Παλαιολόγου, καὶ Κράλλη Σερβίας, καὶ Ῥωμανίας Στεφάνου τοῦ πιστοῦ· ὡς σφόδρα διψῶσα ἔλαφος εἰς τὰς πηγὰς ἐκείνας τῶν καθαρῶν τῆς θεοσεβείας ναμάτων, διὰ τὴν αὔξησιν, στερέωσίν τε καὶ καλλονὴν ταύτης τῆς Μονῆς ἔλαβε τὰ ἱκανὰ παρ' αὐτῶν, καὶ ᾠκοδόμησεν αὐτὴν εἰς τὸ μῆκος καὶ πλάτος, ὁποῦ τὴν σήμερον φαίνεται· καὶ μὲ τὸ ἐκείνων μὲν ἔλεος, προμήθειαν δὲ ἰδικήν του, μὲ προσόδους τινὰς αὐτὴν ἐπροίκισεν, ὡς θυγατέρα του ὡραίαν τε καὶ γνησίαν τῶν κυμάτων τῶν κόπων του· μὲ τόσας δὲ καὶ τοιαύτας προσόδους, ὅσας καὶ οἵας ὁ Θεοφόρος Πατὴρ ἐστοχάσθη, ὅτι ἀρκεῖ εἰς ἐκείνους, ὁποῦ ἐξελέξαντο νὰ ζῶσι βίον μοναχὸν καὶ ἀπέριττον· ἀλλὰ καὶ ἔνδον τῆς πόλεως Σερρῶν ἑτέραν ἔκτισε Μονήν, τόπον ἐπέχουσαν μετοχείου, μὲ τειχίον περικυκλουμένην εἰς ὄνομα καὶ αὐτὴν τοῦ Προδρόμου, τὴν ὁποίαν μὲ τὰ χρειώδη καὶ ἀναγκαῖα παντοίων περιποιησάμενος, ἀπέδειξε κατοικητήριον ἀνδρῶν ἁγίων, εἰς τὸν Θεὸν ἀφιερωμένων, καὶ τὴν κοινοβιακὴν ζωὴν ἐκλεξαμένων, εἰς τοιοῦτον ἀσφαλὲς καὶ μόνιμον τέλος ἔφερε ταύτας τὰς ἱερὰς Μονὰς ὁ Θεοφόρος Πατὴρ ἡμῶν Ἰωάννης, ὥστε καὶ μὲ Χρυσόβουλα καὶ συγγίλια συγγράμματα τῶν ἀφιερωμάτων, καὶ μὲ διατάξεις καὶ πατρικὰς νουθεσίας τῆς τελείας κατὰ Χριστὸν πολιτείας τῶν μοναχῶν ἐνησφαλίσατο, καὶ ἐβεβαίωσεν.

Ἐκ τούτων οὖν ἁπάντων τίς δὲν ἐννοεῖ τὸ κατὰ πάντα τέλειον τῆς ἐναρέτου ζωῆς τοῦ τελείου τούτου πατρὸς ἡμῶν, μὲ τίνα δὲ Προφήτην, ἢ Ἱεράρχην, ἢ Ὅσιον ὁμοιάζων αὐτόν, τὴν ἀκριβῆ δὲν ἤθελεν ἐπιτύχει ὁμοίωσιν, μὲ τὸν Σαμουὴλ, καὶ Ἠλίαν, τοὺς περιφαδομένους τῶν προφητῶν, ἀλλὰ καὶ αὐτὸς κατὰ μὲν Σαμουὴλ ἐκ βρέφους ἁγιασθεὶς τὸν νοῦν, ἐκαταφρόνησε νουνεχῶς τὰ ἐπίκηρα καὶ γεηρά, καὶ μὲ τὸν οἰκειοῦντα Θεὸν τὸν ἑαυτόν του ᾠκείωσε, κατὰ δὲ τὸν Ἠλίαν ἀγαπήσας τὴν ἡσυχίαν ἐγκάρδια, διὰ νὰ ὁμιλῇ ἡσύχως μετὰ τὸν ἥσυχον Θεὸν, καθὼς ἐκεῖνος τὸ Καρμήλιον, ἔτζη καὶ αὐτὸς τὸ Μενοικεῖον ὄρος κατῴκησε· πῶς δὲ τὴν θείαν καὶ ἔννομον ποιμαντικὴν μετεχειρίσθη, δὲν θέλει εἰπεῖ ἄλλο, παρὰ ἢ μόνος αὐτὸς, ἢ καὶ μὲ ἄλλους, μὰ πολλὰ ὀλίγους, οὕτω σοφῶς καὶ Χριστομιμήτως τὸ ἐμπιστευθὲν αὐτῷ ἐποίμανε ποίμνιον. Ἐγὼ δὲ ἀφίνω νὰ λέγω, ὅτι κατ' οὐδὲν ἧττων καὶ Ἀντωνίου τοῦ Μεγάλου ἐν ἀσκηταῖς, παντίαις ἀρετῆς ἀγλαΐαις ἐμφαιδρυνθείς, ὁδηγὸς πρὸς σωτηρίαν πολλῶν ἐγένετο, προτείνων τὸν ἑαυτόν του εἰς τοὺς μοναστὰς τύπον καὶ ὑπογραμμὸν τῆς ἀρετῆς ἀκριβέστατον· καὶ γὰρ ἂν μέγα ἐγκώμιον εἶναι εἰς τοὺς πρὸ αὐτοῦ πράξει καὶ θεωρίᾳ ἐκλάμψαντας, τὸ νὰ γείνωσε παράδειγμα εἰς αὐτὸν ἀρετῆς, δὲν εἶναι ὅμως ὀλιγώτερος ἔπαινος καὶ εἰς αὐτὸν τὸν καλόν μου πατέρα, τὸ νὰ σταθῇ καὶ αὐτὸς εἰς τοὺς μεταγενεστέρους του τὸ παράδειγμα ἀρετῆς. Διατὶ μιμούμενος πάντα τρόπον τοὺς περιβοήτους εἰς ἀρετὴν, ἄλλων τὸν λόγον, ἄλλων τὴν πρᾶξιν, ἄλλων τὸ πρᾶον, ἄλλων τὸν ζῆλον, ἄλλων μὲν τὰ πολλὰ, ἄλλων δὲ τὰ πάντα, καὶ κατὰ τοὺς ἀρίστους ζωγράφους, ἄλλο εἶδος ἀρετῆς ἀπὸ ἄλλον, καὶ ἄλλο ἀπὸ ἄλλον λαμβάνων, καὶ εἰς μίαν τὴν ἐδικήν του ψυχὴν συναθροίζων, ἓν ἄγαλμα ἀρετῆς ἐξ ἁπάντων αὐτὸς ἐξηκρίβωσεν· ὅθεν καὶ τοῦ θαυμασίου ἐκείνου μακαρισμοῦ ἠξιώθη οὗτος ὁ θεοφόρος πατὴρ ἡμῶν, ὅτι μὲ ὀλίγους τῶν παλαιῶν ἁγίων ἀνδρῶν (ὀλίγοι γὰρ οἱ τοῦ Θεοῦ θεράποντες κατὰ τὸν Ναζιανζοῦ Γρηγόριον), ἐφιλοσόφησε ταύτην τὴν ἱερὰν φιλοσοφίαν. Πῶς; μὲ τὸν λόγον καὶ θεωρίαν τὴν ὕλην ἀποτεινάξας, καὶ τὸ προκάλυμμα τοῦτο τῆς σαρκὸς ἀπορίψας, καὶ ὑπὲρ νέφελαν τῷ κούφῳ τῆς ἀρετῆς πτερῷ γενόμενος, ἠνώθη, ὡς δυνατὸν ἀνθρώπῳ, μὲ τὸν Θεὸν καὶ συνεκράθη μὲ τὸ φῶς; ἐκεῖνο τὸ ἀκραιφνέστατον· ἠξιώθη ναὶ τοῦ πολλοῦ ἀξίου ἐκείνου μακαρισμοῦ διὰ τὴν τοιαύτην ἀπ' ἐδῶ ἀνάβασιν, καὶ τὴν ἐκεῖσε θέωσιν, τὴν ὁποίαν ἀξιοῦνται μόνοι ἐκεῖνοι, οἱ ὁποῖοι τὴν γνησίαν καὶ θείαν φιλοσοφίαν ἐφιλοσόφησαν, καὶ τὸ χεῖρον τῷ κρίττῳ καθυπέταξαν, ὡς καὶ οὗτος ὁ μακάριος. Τοιαύτην λοιπὸν ζωὴν ζήσας, καὶ παιδευθεὶς αὐτὸς ἀπὸ τοὺς πρὸ αὐτοῦ θείους καὶ ἱεροὺς ἄνδρας, παιδεύσας δὲ καὶ αὐτὸς τοὺς μετ' αὐτὸν τῷ καλῷ αὐτοῦ παραδείγματι, καὶ παιδεύων ἔτι καὶ νῦν τοὺς βουλομένους ἰχνηλατεῖν τὰς αὐτοῦ ἐγγράφους νουθεσίας καὶ διατάξεις· ὥστε ὁποῦ εἶναι ὁ βίος του καὶ ὁ τρόπος του ὅρος ἐπισκοπῆς, ὁποῖον μισθὸν, τίνα πληρωμὴν τῆς καλῆς καὶ ἀρίστης του ζωῆς δέχεται; Τελειόνει τὴν ζωὴν του εἰς γῆρας καλόν· καὶ τὸ μὲν ἱερὸν ἐκεῖνο σῶμα ἐντίμως καὶ σεβασμίως κηδεύεται εἰς τὸ Καθολικὸν, ἔνθα ἡ μεσονύκτιος ἀκολουθία ψάλλεται, ὡς ὁ σεβάσμιος αὐτοῦ τάφος κηρύττει σαφέστατα· ἡ δὲ ἁγία αὐτοῦ ψυχὴ παρατίθεται εἰς χεῖρας Θεοῦ ζῶντος, καὶ ἀμέσως αὐτὸν ἐποπτάνεται, καὶ μὲ τὰς θεοειδεῖς ἐκείνας αὐγὰς, καὶ τὸ φῶς ἐκεῖνο τὸ ἀνέσπερον καταυγάζεται, καὶ φωτίζεται μετὰ πάντων τῶν ὁμοτρόπων δικαίων, καὶ ὁμοσκήνων Ἀγγέλων· μεθ' ὧν καὶ ἡμεῖς τῶν αὐτῶν ἀξιωθείημεν διὰ πρεσβειῶν τοῦ θεοφόρου καὶ σεβασμίου πατρὸς ἡμῶν Ἰωάννου, τέλειοι προσκυνηταὶ τῆς τελείας Τριάδος γενόμενοι ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Ὁδηγὸς πρὸς σωτηρίαν πᾶσι γέγονας, τοῖς προσιοῦσι πάντοτε, τῶν ἐνθέων σου διδαχῶν παμμάκαρ τῷ φωτὶ, καὶ πίθων αὐτοὺς, ἀναβοῶν, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Ἱερῶς καὶ θεαρέστως ἱερώτατε, τὸν βίον σου διήνυσας, μοναστὰς ὀφθεὶς τῆς ἐνθέου

τύπος ἀρετῆς, καὶ ψάλλων Χριστῷ δυνηκῶς, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Μαθητὴς καὶ ὁπαδὸς Ἡλιοῦ γέγονας, τοῦ θείου παμμακάριστε, Μενοικέως γὰρ, σὺ τὸ ὄρος ὅλου κατοικεῖς, ὡς ἐκεῖνος Κάρμηλον, βοῶν· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν. Θεοτοκίον.

Ἐν καρδίᾳ Θεοτόκον σε καὶ χείλεσιν, ὁμολογῶ πανύμνητε· καὶ γὰρ τέτοκας τὸν θεάνθρωπον λόγον ἀγνή· δι' οὗ κατηυγάσθημεν φέγγους θεογνωσίας, ἀληθῶς ἡ κληρουχία ἡ σή.

Ὠδὴ ἡ. Ἐκ φλογὸς τοῖς ὁσίοις·

Ναῶν τῆς ὕλης θεόφρον ἔξω γενόμενος, καὶ μεθέξει ἀύλων ἐνωποιούμενος, τῷ παμβασιλεῖ καὶ Θεῷ τῶν ὑμνούντων σου, μνήμην τὴν φωσφόρον, πάντοτε ὑπερεύχου.

Ἐνεκράθης τῷ πόθῳ τῷ θείῳ ἔνδοξε, Ἰωάννη παμμάκαρ· ὅθεν καὶ ἔσπευσας, ἡσύχῳ Θεῷ ὁμιλεῖν τῷ παντάνακτι, ἀποστὰς, καὶ δόξης, καὶ γηΐνων ἁπάντων.

Μεγαλύνη ὑμνοῦσα Χριστὸν τὸν Κύριον, Μ' Ἰωάννη ἡ ποίμνη, ἥνπερ συνέστησας, καὶ σὲ πρεσβευτὴν πρὸς αὐτὸν νῦν προβάλλεται· ῥυσθῆναι παντίας θλήψεως καὶ ὀδύνης. Θεοτοκίον.

Ἀνυμνοῦμέν σου Κόρη τὸν ἀνερμήνευτον, καὶ πανάγιον τόκον, δι' οὗ ἐρρύσθημεν· ἐξ εἰδωλικῆς πλάνης, καὶ ἐφωτίσθημεν, γνώσει τῆς Τριάδος τῆς μιᾶς θεαρχίας.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Νοεῖν καὶ λέγειν τὰ θεῖα ἔμπνευσον, Μάκαρ ἀεὶ τοῖς πόθῳ εὐφημοῦσι τὴν μνήμην σου, καὶ τὴν τρίδον τοῦ βίου ὁμάλισον, τῶν πειρασμῶν τὸ νέφος ἀποκρουόμενος, ταῖς πρὸς τὸν Χριστὸν τὸν λυτρωτὴν, θερμαῖς πρεσβείαις σου.

Ὁφῶς ἀπρόσιτον οἰκῶν Κύριος, σοῦ τὴν ψυχὴν δεξάμενος σοφὲ, συναρίθμησε τοῖς ὁσίων χοροῖς καὶ στρατεύμασι, τῶν θείων Ἀσωμάτων ὃν καθικέτευε, εἰρήνην βραβεῦσαι σταθερὰν, τῇ Ἐκκλησίᾳ αὐτοῦ.

ΕΛΛΗΝΙΚΟΝ ΙΔΡΥΜΑ ΠΟΛΙΤΙΣΜΟΥ ΚΕΝΤΡΟ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ

Ἡ τοῦ ἐλέους πηγὴ ἡ ἄπειρος, τῶν ἐφετῶν καὶ πάντων ἀγαθῶν τὸ ἀκρότατον, ὁ παντέλειος νοῦς καὶ ἀμέθεκτος, ταῖς τοῦ σοῦ ἱεράρχου λιταῖς ἐπίσκεψε, λαὸν τυραννούμενον δεινῶς τὸν χριστεπώνυμον.

Θεοτοκίον.

Λαὸν καὶ κλῆρον τὸν σὸν πανύμνητε, ἴδε οἰκτρῶς, καὶ λίαν χαλεπῶς πεζόμενον, ἀνημέροις ἐχθροῖς, καὶ ἀπάλλαξον, πλήθει δυσωπηθεῖσα σῆς ἀγαθότητος, πάντα γὰρ ἰσχύεις ἀληθῶς, ὅσα καὶ βούλοιο.

Ἐξαποστειλάριον τοῦ Ἁγίου. Φῶς ἀναλλοίωτον λόγε.

Σὲ ἐξ ἀλόγου ποίμνης, μετήγαγεν εἰς λογικὴν, τὸ πνεῦμα πνευματοφόρε, ὡς τὸν Μωσέα καὶ Δαβίδ, ὧν ἐμιμήσω τὸ πρᾷον, Σπυρίδων φῶς οἰκουμένης.

Ἕτερον. Τοῦ Ὁσίου ὅμοιον.

Δικαίου ἐπαινουμένου, λαοὶ εὐφραίνονται πολλοί, σοφός τις φθέγγεται πάλαι, καὶ ὁ σὸς βίος παμμάκαρ, λεγόμενος, καθηδύνει πιστὰς καρδίας, καὶ μόναζόντων χορείας.

Τῆς Θεοτόκου, ὅμοιον.

Χρυσοπλοκότατε πῦργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.

Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχ. προσόμοια τοῦ Ἁγίου, γ'. καὶ τοῦ Ὁσίου γ'.

Τοῦ Ἁγίου προσόμοια. Ἦχος ά.

Τῶν Οὐρανίων ταγμάτων.

Ἐν τῇ τοῦ Πνεύματος αἴγλῃ καταλαμπόμενος, τὸ ζοφερὸν καθεῖλεν, ὁ σοφὸς ἱεράρχης, Ἀρείου τὸ ληρῶδες σθεν ἁπλῶς, δογματίσας Τριάδα πιστῶς, ὑπὸ σοφῶν ἐδοξάσθη καὶ συνετῶν, καὶ τὴν Σύνοδον ἐκύρωσε.

Ταῖς οὐρανίαις ἀκτῖσι περιλαμπόμενος, τῇ τοῦ Χριστοῦ δυνάμει, τὰς ἰάσεις παρέχων, ψυχῶν τε καὶ σωμάτων, τοῖς πίστει θερμῇ, ἐκτελοῦσι τὴν μνήμην σου, θεομακάριστε πάτερ θαυματουργέ, μὴ ἐλλείπῃς ὑπερεύχεσθαι.

Τοῦ ἀμπελῶνος ἐργάτης διά τῆς πίστεως, τῶν ἐντολῶν ἐδείχθης, τοῦ Χριστοῦ θεοφόρε, διὸ τῆς βασιλείας, τῇ ἄνω λαῶν, μυστικῶς τὸ δυνάριον, ἀδιαλείπτως προσεύχου ὑπὲρ ἡμῶν, τῶν τιμώντων σε Σπυρίδων σοφέ.

Ἕτερα τοῦ Ὁσίου. Ἦχος ά.

Πανεύφημοι Μάρτυρες.

Τῷ θείῳ τοῦ Πνεύματος φωτὶ, μάκαρ ἐλλαμπόμενος, Χριστῷ τῷ πάντων δεσπόζοντι, κατηκολούθησας, καὶ τῶν ἐνταλμάτων αὐτοῦ ἀναδέδειξαι, ἐκπληρωτὴς καὶ φύλαξ πανάριστος, ὃν καθικέτευε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ταῖς λαμπραῖς ἀκτῖσι τοῦ σοφοῦ, Παύλου πυρσευόμενος, τοῦ διδασκάλου τῆς πίστεως, ὅλος γεγένησαι, Ἰωάννη μάκαρ τὴν ποίμνην σου φύλαττε, πιστοὺς εὐωδιάζων τῇ χάριτι, ταῖς ἁπλανεσί σου, διδαχαῖς, καὶ λόγοις ἅπαντας, εἰς λιμένα ποδηγῶν σωτήριον.

Τῆς ἱεραρχίας τὴν στολὴν, μάκαρ ἀμπεχόμενος, Ἀγγέλοις ὄντως ὡμοίωσαι, καὶ εὐλαβῶς Θεῷ, λειτουργῶν καὶ πάντας, ἁγιάζων χάριτι, εἰς δόξαν τε καὶ θαῦμα τοῦ Κτίστου σου, ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος δ'.

Ἱεραρχίας μὲν τῷ ποδῆρι, ἀγλαίζόμενος Ὅσιε, καθαρῶς τὴν λογικὴν Θεῷ ἐπετέλεις λατρείαν· τὰς τῶν παθῶν καθαγιάζων ψυχάς, τῷ ἀγγελομόρφῳ σου ἴδει, τοὺς τῶν ὡρῶν τῶν ὀφθαλμῶν, εἰς θαυμά τε καὶ δόξαν παρεκίνεις Θεοῦ· ἀλλὰ καὶ νῦν Ἰωάννη πατὴρ ἡμῶν· σὺν Ἀγγέλοις αὐτῷ παριστάμενος ἐκτενῶς ἱκετεύων μὴ παύσῃ ὑπὲρ τῆς ποίμνης σου.

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν· εὐτρεπίζου σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν, Βηθλεὲμ γῆ Ἰούδα τέρπου καὶ

ἀγάλλου, ὅτι ἐκ σοῦ, ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, ἀκούσατε ὄροι καὶ βουνοί, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας, ὅτι ἔρχεται Χριστὸς, ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον ὡς φιλάνθρωπος.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, τυπικὰ, καὶ οἱ Μακαρισμοὶ, ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ᾠδὴ γ'. καὶ τοῦ Ὁσίου ᾠδὴ ς'. Προκείμενον. Ἦχος βαρύς. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων. Τὶ ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων. Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγ. Ἀδελφοὶ πείθεσθαι τοῖς ἡγουμένοις ἡμῶν καὶ ὑπείκετε. Ἦχος δ'.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστε τὸ φῶς τοῦ Κόσμου.

Ζήτει Ἰαννουαρίῳ 18

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Κατὰ τὸ ᾳψξγ'. ἔτος Ἀπριλίου ί. ἡμέρᾳ έ. 1763.

ΕΜΑΡΤΥΡΗΣΕΝ ΕΝ ΣΜΥΡΝΗ: Ο ΑΓΙΟΣ ΜΑΡΤΥΣ ΔΗΜΟΣ.

Οὗτος ὁ εὐλογημένος ἐκατάγετο ἀπὸ τὴν ἐπαρχίαν τῆς Ἀνδριανουπόλεως, ἀπὸ ἕνα χωρίον Οὐτζοῦν Κιοπροῦ τουρκιστὶ καλούμενον, ὤντας δὲ ψαρᾶς τὴν τέχνην, εὑρίσκετο πάντοτε εἰς τὰ κοινῶς λεγόμενα Διβάρια· κοπιάσας λοιπὸν ἕνα ὁλόκληρον χρόνον εἰς ἕνα διβάρι πλησίον τῆς Σμύρνης εὑρισκόμενον Τσακάλ Μπουρνοῦ καλούμενον, ὄχι μόνον δὲν ἀπόλαυσε κἀνένα κέρδος ἀπὸ αὐτὸ, ἀλλὰ καὶ ἔμεινεν εἰς χρέος πρὸς τὸν ἐκείνου τοῦ Διβαρίου ἐξουσιαστὴν ὀθωμανόν· τὸν δὲ ἐρχόμενον χρόνον ἠγόρασεν ἄλλος Τοῦρκος τὸ ἴδιον διβάρι, ὅστις ἠνάγκαζε τὸν Μάρτυρα νὰ ὑπάγῃ πάλιν νὰ δουλεύῃ εἰς τὸ Διβάρι καὶ εἰς ἐκεῖνον τὸν χρόνον, διὰ νὰ πληρώσῃ μὲ τὴν ἐργασίαν του τὸ χρέος ὁποῦ ἐχρεώστει, καὶ νὰ λάβῃ καὶ τὸ ἀνάλογον μερίδιον τοῦ κέρδους ὁποῦ ἤθελαν λάβουν καὶ οἱ λοιποὶ συνεργάται τοῦ αὐτοῦ διβαρίου· ὁ δὲ Ἅγιος δὲν ἤστεργε νὰ ὑπάγῃ, καὶ μὲ ὅλον ὁποῦ καὶ οἱ ἄλλοι συνεργάται, Χριστιανοὶ καὶ αὐτοὶ ὄντες, τὸν ἐπαρακινοῦσαν εἰς τοῦτο νὰ ὑπακούσῃ. Τότε ὁ ἐξουσιαστὴς τοῦ διβαρίου ἀνάψας ἀπὸ μεγάλον θυμὸν, καὶ μὴ ἔχων τὶ ἄλλο νὰ κάμῃ, συκοφαντεῖ τὸν Μάρτυρα, ὅτι ἔκαμεν ὅρκον δηλ. ἀνίσως καὶ δὲν ὑπάγῃ εἰς τὸ διβάρι του νὰ δουλεύσῃ, νὰ γένῃ τοῦρκος, καὶ παρευθὺς εὑρίσκει εἰς τοῦτο καὶ ἄλλους ψευδομάρτυρας· καὶ οὕτως ἁρπάζουσι τὸν Ἅγιον, καὶ τὸν πηγαίνουν εἰς τὸν κριτήν· καὶ ὁ κριτὴς τὸν ἀναγκάζει νὰ ἀρνηθῇ τὸν Χριστὸν, καθὼς ὤμοσεν ὁ δὲ μάρτυς ἔλεγεν, ὅτι ψεύματα λέγουν, καὶ ὅτι αὐτὸς οὔτε ὅρκον ἔκαμεν, οὔτε τοῦρκος γίνεται, ἀλλ' ὡς Χριστιανὸς ὁποῦ εἶναι πιστεύει τὸν Χριστὸν, καὶ ὁμολογεῖ αὐτὸν Θεὸν ἀληθινὸν, καὶ εἶναι ἕτοιμος νὰ χύσῃ τὸ αἷμά του διὰ τὴν ἀγάπην του· ὅθεν ῥαβδίζεται σκληρότατα ἀπὸ τοὺς δημίους, καὶ μὲ ἄλλας πολλὰς παιδείας ἀνηλεῶς τιμωρεῖται καὶ ἔπειτα βάλλεται εἰς τὴν φυλακὴν, καὶ οἱ πόδες του σφίγγονται εἰς τὸ κούστουρον, καὶ διὰ νὰ αὐξήσῃ τὸ σφίξιμον καὶ ὁ πόνος τὸν ποδῶν, βάλλονται μέσα εἰς τὸ κούστουρον τοῦθλα, καὶ ἄλλα παρόμοια σκληρὰ, καὶ τραχέα πράγματα, ἀλλὰ πάντα ὑπέμεινεν ὁ γενναῖος τοῦ Χριστοῦ στρατιώτης, ὡς ἄλλου πάσχοντος.

Κάποιος δὲ Νικόλαος ἐκ τῆς νήσου Λέρνης εὑρεθεὶς τότε εἰς τὴν Σμύρνην, ἐπῆγεν ἀπὸ λόγου του εἰς τὴν φυλακὴν διὰ ἀγάπην τοῦ Μάρτυρος, καὶ συντρώγων, καὶ συμπίνων, καὶ συνομιλῶν μετ' αὐτοῦ ὡς φιλομάρτυς τὸν ἐπαραθάῤῥυνε εἰς τὸ Μαρτύριον· ἔπειτα

ἐκβάλλει τὸν Ἅγιον ἀπὸ τὴν φυλακὴν ὁ κριτής, καὶ δύω καὶ τρεῖς φοραῖς παρέστησεν εἰς ἐξέτασιν, καὶ μήτε μὲ κολακείας, καὶ ταξίματα πολλῶν χαρισμάτων, μήτε μὲ φοβερισμοὺς τιμωριῶν, καὶ βασάνων περισσοτέρων δυνηθεὶς νὰ τὸν μετασαλεύσῃ ἀπὸ τὴν πίστιν τοῦ Χριστοῦ, ἔδωκε καθ' αὐτοῦ τὴν τελευταίαν τοῦ θανάτου ἀπόφασιν, καὶ οὕτως ἀπεκεφαλίσθη ὁ μακάριος, καὶ συνηριθμήθη μὲ τὸν χορὸν τῶν Μαρτύρων· τὸ δὲ Ἅγιον αὐτοῦ λείψανον ἀγοράσαντες οἱ Χριστιανοί, τὸ ἐνταφίασαν μετὰ παρρησίας καὶ τιμῆς εἰς τὸν ναὸν τοῦ Ἁγίου Γεωργίου· μετὰ δὲ μίαν ἡμέραν τῆς ταφῆς τοῦ Μάρτυρος, ἥτις ἦτον ἡ Κυριακὴ τοῦ Παραλύτου, ἐγκομίοις μαρτυρικοῖς ἐτίμησεν αὐτὸν καὶ ὁ τότε παρὼν διδάσκαλος Ἱερόθεος.

Νοεῖν οὐ δεδύνηται, βρότειος νοῦς Παναμώμητε, τὸ μέγα μυστήριον τοῦ θείου τόκου σου, τὸν γὰρ ἅπασαν, βαστάζοντα τὴν κτήσιν, ἀγκάλαις ἐβάστασας· ὦ ξένον

ἄκουσμα!

Ὁ ϛ΄. Κανών, πόνημα Μηχαὴλ Εὐμορφοπούλου. Ὠδὴ, ά. ἦχος, ά. Ὠδὴν ἐπινίκιον.

Ζωῆς σου λαβόμενος τῆς ἀκηράτου, Θεόφρον Πολύδωρε φωτισμόν μοι δώρησαι, ἅτε φωτὶ παρεστὼς τὸ τρισηλίῳ, ἀθλητὰ ἵνα ὑμνήσω σε.

Αἱμάτων σου ἔσβεσας, ῥίθροις τιμίοις, τὴν τῶν τυραννούτων σε, φλόγα παμμακάριστε, καὶ ἥδρευσας ὡς ἀληθῶς, τὰς διανοίας τῶν πιστῶν, βλαστάνειν θείους καρπούς.

Ὡς ῥόδον ἐβλάστησεν, ἀπὸ τῆς Κύπρου ὁ θεῖος Πολύδωρος, καὶ ἐλθὼν εἰς Ἔφεσον, ἐμύρησεν ἀληθῶς, θυμίαμα τῷ Ἰησοῦ· προσαχθεὶς εὔοσμον. Θεοτοκίον.

Ἡμόνη τὸν ἄχρονον, υἱὸν ἐν χρόνῳ, τεκοῦσα σαρκούμενον, Παναγία ἄχραντε, πάντα τὰ χρόνια, τῆς παναθλίας μου ψυχῆς, πάθη θεράπευσον.

Ὠδὴ, γ΄. Τοῦ ά. Τοὺς σοὺς ὑμνολόγους.

Γελοίαν ἐκήρυξας τὴν πλάνην, τυράννων Πολύδωρε σοφὲ, μύθων καὶ λύρων γέμουσαν, παντός τε ἀτοπήματος· δι' ὅσου τὴν ἐτήσιον, μνήμην δικαίως γεραίρομεν.

Ἐθρήνεις πικρῶς τὰς ἁμαρτίας, τὰς σὰς ὦ Πολύδωρε στερρὲ, καὶ γοερῶς ἐστέναζες, συντρίβων τὴν καρδίαν σου· ὅθεν Θεὸς ἀκούσας σου, τοῦ Μαρτυρίου ἠξίωσε.

Ῥαδίως ἐξένηψας τρισμάκαρ, καὶ ἔγνως ὃ πέπονθας κακόν· δι' ὃ περιερχόμενος, ἐζήτεις τὴν διόρθωσιν· ἧς ὕστερον ἐπέτυχες, ὑπὲρ Χριστοῦ λαβὼν θάνατον.

Θεοτοκίον.

Ἀσπόρως συνέλαβες Παρθένε, ἀκόπως ἐβάστασας Ἁγνὴ, ἀφθόρως δὲ ἐγέννησας Θεὸν τὸν ὑπερούσιον· ὢ τέρατα παράδοξα! τίς νοῦς βροτῶν οὐκ ἐξίσταται.

Ὠδὴ, γ΄. Τοῦ ϛ΄. Στερεωθήτω ἡ καρδία μου

Οἱ ἀσεβεῖς νῦν μὲν ἐθώπευον, νῦν δὲ καὶ ἠπείλουν οἱ ἄνομοι, τὸ σταθερὸν γνώμης τῆς σῆς, διαῤῥῆξαι βουλόμενοι· ἀλλὰ τούτου μὴ τυχόντες, ὅσπερ κῦνες ὑλάκτουν σοι.

Ὁ παμμακάριστος Πολύδωρος, θεϊκὴ δυνάμει νευρούμενος, τοὺς ἀφορήτους αἰκισμοὺς, θαρσαλαίῳ φρονήματι, εἰς οὐδὲν λελογισμένος, τῶν τυραννούντων ὑπέμεινεν.

Ἀθλοφόρε γενναιότατε, ὁ Χριστὸς ἰσχύν σοι ἐνδίδωσιν, ἵνα τὸν δόλιον ἐχθρὸν, ἀναιδῶς τὸν καυχόμενον, καταβάλλῃς παμμακάριστε, ἀθλήσας στερῤῥότατα.

Θεοτοκίον.

Ῥῦσαί με πάσης περιστάσεως, καὶ πολλῶν σκανδάλων τοῦ ὄφεως, καὶ αἰωνίζοντος πυρὸς, καὶ τοῦ σκότους πανάμωμε, ἡ τὸ φῶς ἀποκυήσασα, βροτοῖς τὸ ἀνέσπερον.

Κάθισμα, ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ·

Τῇ τοῦ Σταυροῦ ὠχυρωμένος δυνάμει· καὶ ἠδρασμένος, ἐν τῇ πίστεως πέτρᾳ, ἀγαρηνοὺς ὡς κνώδαλα καὶ κύνας εὐτελεῖς, ἔνδοξε πολύδωρε, ἀνδρικῶς ἐλογίσω, καὶ Χριστοῦ τὸ ὄνομα, ἀνεκήρυξας Μάρτυς, καὶ τὸν τῆς νίκης νῦν ἐν οὐρανοῖς, ἀπολαμβάνεις ἀμάραντον Στέφανον.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Καθάπερ μόνος ὁ Υἱός σου Παρθένε, τὴν τετραγράμματον ἐπλούτησε κλῆσιν, τὴν κτίσει ἀκοινώνητον ἀπάσῃ καὶ φρικτήν· οὕτω σὺ ἐπλούτησας, μόνη ἄχραντε Κόρη, Θεοτόκου ὄνομα, ἀληθῶς καὶ κυρίως· καὶ γὰρ σὺ μόνη τέτοκας Θεὸν ἐν ἀληθείᾳ, ὑπὲρ πᾶσαν ἔννοιαν.

Ὠδὴ, δ΄. Τοῦ ά. Τὴν ἀνεξιχνίαστον.

Ἴλεων ἀπέργασαι ταῖς σαῖς εὐχαῖς, ἐφ' ἡμῖν τὸν Κύριον Ἅγιε· ὅπως ῥυσθέντες, αἰωνίζοντος πυρὸς, δόξης ἀξιωθείημεν, οἱ σὲ ἐξαιρέτως ποθήσαντες.

Ῥώμην καὶ τὴν ἔνστασιν τὴν τῆς ψυχῆς, σοῦ οἱ ἀσεβεῖς κατεπλάγησαν καὶ μετὰ θάμβους ἀνεβόων τὰ ἐξῆς, ὢ οἵας γενναιότητος, ἣν παρ' οὐδενὶ ἑωράκαμεν!

Ὥσπερ Εὐαγγελιόν τι θαυμαστὸν, ἀκοὴν ὠτῆς σῆς τελειώσεως, οἱ σὲ ποθοῦντες, ἐδεξάμεθα σαφῶς, Μάρτυς Χριστοῦ Πολύδωρε, καὶ χαρᾶς ἀῤῥήτου ἐπλήσθημεν.

Θεοτοκίον.

Πῶς σου ἐξυμνήσω τὸ κάλλος ἁγνή; ἢ πῶς σε δοξάσω θεόνυμφε; ἐν λόγοις οὖσαν, θείας δόξης θησαυρόν; σθεν σιγῇ σου δέομαι· Δέσποινά μου Δέσποινα σῶσόν με.

Ὠδὴ, δ΄. Τοῦ ϛ΄. Ἐν Πνεύματι προβλέπων.

Ὡς ἔλαφος διψῶσα, ἐζήτεις ἀθλητὰ, Χριστὸν τὸν σώζοντά σε, καὶ ἔκραζες θερμῶς, τὸν Ἰησοῦν μου· ἐπιποθῶ τὸν Ἰησοῦν μου· οὗ δι' ἀγάπην, ἐγὼ πάντα ὑπομένω, καὶ πῦρ καὶ ἀγχόνην καὶ μάστιγας.

Πολύδωρον τὸν θεῖον, τιμήσωμεν πιστοί, ὑμνοῦντες ἐν ᾄσμασι, τὴν ἄθλησιν αὐτοῦ· τοὺς αἰκισμοὺς, τὰς βασάνους καὶ τὴν ἀγχόνην, ἅπερ ὑπέστη, ἵνα τῷ Χριστῷ συζήσῃ, καὶ συμβασιλεύσῃ ἀθάνατα.

Ὑψούμενα παμμάκαρ ὑπὸ τῶν ἀσεβῶν, βασάνων τὰ κύματα, μεγάλως κατὰ σοῦ, καταβυθίσαι οὐκ ἴσχυσαν οὐδ' ὅλως, τὴν σὴν ὁλκάδα, ὦ Πολύδωρε θεόφρων, ὡς κυβερνωμένην τῷ Πνεύματι. Θεοτοκίον.

Ὑμνοῦμέν σε Παρθένε, Θεόνυμφε σεμνὴ, ὡς θεογεννήτριαν, καὶ τεῖχος τῶν πιστῶν· σὺ γὰρ τὴν φύσιν ἀνέστησας τὴν πεσοῦσαν, καὶ τὴν εἰκόνα ἀνεμόρφωσας τεκοῦσα, μόνη τὸν προόντα Θεὸν τοῦ Ἀδάμ.

Ὠδὴ, ε΄. Τοῦ ά. Ἐξέστη τὰ σύμπαντα.

Οὐκ ἄνθος νεότητος, οὐ κάλλος τὸ τοῦ σώματος, οὐ τῶν δωρεῶν αἱ ὑποσχέσεις, ὑπὸ ἀπίστων σοὶ προτεινόμενα, ἴσχυσαν ψυχῆς σου τὸ στερρὸν, σαλεῦσαι ἀήττητε, Χριστομάρτυς Πολύδωρε.

Λέοντα καὶ δράκοντα, ἐπάτησας Πολύδωρε, τῇ γενναιοτάτῃ σου ἀθλήσει, καθάπερ ἔφης πρὸ τῆς ἀθλήσεως· ὥσπερ προφητεύων ἀληθῶς, δύναμιν φραξάμενος, τοῦ Χριστοῦ τὴν ἀήττητον.

Ὑπὲρ τὰ ὁρώμενα, τὸν νοῦν ἄρας Πολύδωρε, πάντων κατεφρόνησας τῶν τῇ δεῦθεν ἑδόας τοῖς τυραννοῦσί σε, καὶ ὑπισχνουμένοις δωρεάς· πάντα ταῦτα πέλουσι, ματαιότης παράνομοι. Θεοτοκίον.

Διπλῶς ἀναδέδειξαι, σὺ Θεοτόκε πάναγνε, τῷ τε καθ' ὑπόστασιν γεννῆσαι, τὸν Θεὸν λόγον, καὶ τὴν ἀνθρώπινον, φύσιν τε λῃφθεῖσαν ὑπὸ σοῦ, θεωθῆναι ἄχραντε, ἐξ αὐτῆς τῆς ἑνώσεως.

Ὠδὴ, ε΄. Τοῦ ϛ΄. Τὴν σὴν εἰρήνην.

Ἰσχὺν σοφὲ τιθέμενος, καὶ κράτος τὸν Χριστὸν, πέλαγος διέβης Πολύδωρε τὸ τῶν βασάνων, καὶ κατήντησας λιμένας πρὸς τοὺς ἄνω, ἠρέμα ἀθλοφόρε.

Εὐφραίνεσθαι δεῖ σήμερον, πάντας τοὺς εὐσεβεῖς, βλέποντας τὸν θεῖον Πολύδωρον, πῶς τῶν βασάνων κατεφρόνησε· δι' ὧν κατηξιώθη ζωῆς τῆς αἰωνίου.

Τὰ τείχη σὺ κατέαξας, τῆς πλάνης ἀληθῶς, τῶν Ὀθωμανῶν θείων παθημάτων σου, ἀναμοχλεύσει ἱερώτατε, καὶ τοῖς πιστοῖς ἐδείχθης, στερέωμα καὶ τεῖχος. Θεοτοκίον.

Βασίλισσαν παρθένον σε, κηρύττει ὁ Δαβὶδ, ἄχραντε ἁγνὴ, δι' ὃ ἱκετεύωσε, τῆς οὐρανίου βασιλείας με, ποίησον κληρονόμον, ἵνα σὲ μακαρίζω.

Ὠδὴ, ϛ΄. Τοῦ ά. Τὴν θείαν ταύτην.

Ὡς νέον ῥόδον ἠδύπνοον, καιροῖς ἐν τοῖς ἐσχάτοις ἐξήνθησας, Μάρτυς πολύαθλε, διὰ στερρᾶς σου ἀθλήσεως, ἡμᾶς εὐωδιάζων τοὺς σὲ γεραίροντας.

Εἶτω μοι ἅπαντα ἔλεγες, τὰ ἄλλα Χριστομάρτυς Πολύδωρε, τοῖς τυραννοῦσί σε· τὸν Ἰησοῦν δὲ μονώτατον, τὸν Ἰησοῦν ἐξ ὅλης ποθῶ καρδίας μου.

Ὅλος διψῶν τὸ Μαρτύριον, Πολύδωρε τρισμάκαρ ὡς ἤκουσας, ἀγχόνης ὄνομα· εὐθὺς ὑπάγωμεν ἔφησας, καὶ σὺν τῷ λόγῳ δέκα ἕδραμες βήματα. Θεοτοκίον.

Νέον παιδίον ἐγέννησας, τὸν πάντων πρὸ αἰώνων ὑπάρχοντα, θεοχαρίτωτε· δι' ὃ κακίαις γηράσαντα, ἐνθέοις ἀρεταῖς με νέον ἀπέργασαι.

Ὠδὴ, ϛ΄. Τοῦ δ΄. Τὸν προφήτην Ἰωνᾶν.

Ἐκ τῆς Χίου μεταβὰς, πρὸς τὴν Ἔφεσον χωρεῖς, ὦ γενναῖε ἀθλητὰ, ἵν' ὡς θῦμα τῷ Χριστῷ, πανέντιμον, σαυτὸν προσφέρῃς, Μάρτυς Πολύδωρε.

Ἀντωνούμενος μικροῖς, τὰ μεγάλα σεαυτὸν, ἔδωκας τοῖς αἰκισμοῖς, ἀθλοφόρε τοῦ Χριστοῦ Πολύδωρε, καὶ τὸν σὲ πρὶν, πτερνήσαντα ἔτρωσας.

Συμπαθείας σὺ τὸν νοῦν, διαζεύξας ἀθλητὰ, τῆς πρὸς σάρκα τὴν σαυτοῦ, μαστιζόμενος δεινῶς ἀνέκραζες· τὸν Ἰησοῦν μου ποθῶ τὸν γλυκύτατον. Θεοτοκίον.

Ἐν γαστρί σου χωρητὸς, ὁ ἀχώρητος παντί, θεομῆτορ γεγονώς, προελήλυθεν ἐκ σοῦ πανάμωμε, διπλοῦς τῇ φύσει Θεὸς καὶ ἄνθρωπος.

Κοντάκιον. Ἡ παρθένος σήμερον.

Τὴν σεπτήν σου ἄθλησιν, ὡς γενεθλίων ἡμέραν, ἐννοῦντες χαίρομεν, καὶ σὲ γεραίρομεν πόθῳ· ἔλαβες καὶ γὰρ ἐν ταύτῃ τὸ δι' αἱμάτων, βάπτισμα ὃ οὐ μολύνεται ῥύποις, ἐν δευτέροις δι' οὗ ὅλος, λευκὸς ἀνῆλθες εἰς τὰ οὐράνια. Ὁ Οἶκος.

Τὸ ἀνδρεῖον τῆς ψυχῆς σου παράστημα, καὶ τὴν τῆς ὀρθοδόξου πίστεως πεπαῤῥησιασμένην ὁμολογίαν, Μάρτυς Πολύδωρε, ἐθαύμασαν Ἄγγελοι, ἔφριξαν οἱ δαίμονες, καὶ οἱ ἀσεβεῖς Ὀθωμανοὶ κατεπλάγησαν, ὁρῶντες ἐν σώματι ἄνθρωπον, τὰ τῶν ἀσωμάτων φρονοῦντα· καὶ μήτε θωπείαις ἀπατηλαῖς εἴκοντα, μήτε ἀπειλὰς τυραννικὰς, μήτε βασάνους πτοούμενον, καὶ τὸν φοβερὸν ἅπασι θάνατον, ὡς ἡδίστην ζωὴν προσιέμενον· δι' οὗ τῷ Χριστῷ προσαχθεὶς ὡς θυσία καινὴ καὶ εὐάρεστος, χαίρων ἀνῆλθες εἰς τὰ οὐράνια.

Ἕτερον Κοντάκιον Νικηφόρου. Ἦχος, πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τῆς ἡμετέρας γενεᾶς τὸ ἀκροθίνιον, δεῦτε συμφώνως οἱ πιστοὶ ἀνευφημήσωμεν, τὸν πανένδοξον Πολύδωρον τὸν ἐκ Κύπρου, ἐν Ἐφέσῳ δὲ τῇ νέᾳ ἐναθλήσαντα, καὶ τοὺς Ἄγαρ ἀπογόνους καταισχύναντα, καὶ δοξάσαντα τὸ Χριστοῦ θεῖον ὄνομα.

Τῷ αὐτῷ μηνὶ γ'. μνήμη τοῦ Ἁγίου μεγαλομάρτυρος Πολυδώρου.

Στίχ. » Δῶρον θεός σε, καὶ πολύτε καὶ νέον
» Δέδωκεν ἡμῖν, Πολύδωρε τρισμάκαρ.
» Βῆ δὲ τρίτῃ Πολύδωρος ἐς οὐρανὸν
ἀστερόεντα.

Οὗτος ὁ μέγας, καὶ νεοφανὴς στρατιώτης τοῦ Χριστοῦ Πολύδωρος, ἦτον μὲν γέννημα, καὶ θρέμμα τῆς Λευκοσίας, τῆς πρώτης τῶν πόλεων τῆς νήσου Κύπρου, Πατρὸς Λουκᾶ προσκυνητοῦ, καὶ Μητρὸς Λουρδανοῦς. Μικρὸς δὲ ὢν τὴν ἡλικίαν, ἐμαθητεύθη τὰ ἱερὰ γράμματα εἰς τὴν πατρίδα του, καὶ ἀφοῦ ἐμεγάλωσεν, ἐξελθὼν τῆς ἰδίας του πατρίδος, ἐπραγματεύετο εἰς τὸ Μισῆρι, καὶ ἀπὸ ἐκεῖ πηγαίνωντας εἰς διάφορα μέρη χάριν πραγματείας, ἔγινε γνώριμος πολλοῖς. Πέρυσι δὲ ὤντας εἰς τὸ Μισῆρι, συνέβη νὰ προσκοληθῇ (ἄμποτε νὰ μὴν ἤθελε τὸν ἀνταμώσῃ ὁλότελα) μὲ ἕνα Κιεσίφην ἀρνησίχριστον Ζακύνθιον, καὶ ἔγινε γραμματικὸς εἰς αὐτόν· λοιπὸν τὸ ἀπερασμένον σαρανταήμερον, εὑρισκόμενος μίαν ἡμέραν εἰς χαραῖς καὶ ξεφαντώματα, ἠκολούθησε καὶ νὰ μεθύσῃ, καθὼς συμβαίνει εἰς τέτοια περιστατικά· ἡ μέθη τοῦ ἐσκότησε τὰς φρένας καὶ ὁ μὲν θεῖος Παῦλος παραγγέλλει λέγων « μὴ μεθύσκεσθαι οἴνῳ, ἐνῷ ἐστὶ ἀσωτία »· ἀλλ' εἰς τοῦτον ἡ μέθη ἐπροξένησεν ἀκόμη καὶ τὸ χείριστον, καὶ ἀκρότατον τῶν κακῶν. Ποῖον τοῦτο; δηλαδὴ τὸν ἐκατάστησε νὰ ἀρνηθῇ, φεῦ! τὸν Χριστὸν τὸν Θεὸν, καὶ σωτῆρα τοῦ κόσμου, καὶ νὰ δεχθῇ τὸν ἐναγῆ καὶ ψυχώλεθρον Μωαμετισμόν. Κατὰ ἀλήθειαν ἐφάνη καὶ εἰς τοῦτον, πῶς εἶναι ἄσφαλτος ἡ παλαιὰ ἐκείνη γνώμη, ὁποῦ λέγει σοφώτατα « φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί »· ὅθεν καὶ πρέπει, καὶ συμφέρει νὰ φεύγωμεν ὅσον δυνάμεθα τὰς κακὰς συναναστροφάς. Ἀλλὰ καθὼς ἔδειξαν τὰ πράγματα, εἶχεν ὁ ἄνθρωπος διάθεσιν ἀγαθὴν, καὶ ταύτην βλέπωντας ὁ τοῦ ἐλέους

Θεὸς, ἔνευσεν εἰς τὴν καρδίαν του, καὶ παρευθὺς ὁποῦ ἐξένηψεν ἀπὸ τὴν μέθην, ἦλθεν εἰς τὸν ἑαυτόν του· ἐλυπήθη πολλὰ διὰ τὸ κακὸν ὁποῦ ἔπαθε, καὶ μετανοῶν, καὶ κλίων πικρῶς, ὡς ἄλλος Πέτρος, ἐπέρνα πάλιν Χριστιανικά, ἕως ὁποῦ μετὰ ὀλίγας ἡμέρας εὑρίσκοντας εὐκαιρίαν, ἔφυγεν ἐκεῖθεν, καὶ ἐπῆγεν εἰς τὸ Βεροῦτι κατ' εἰθείαν εἰς τὸν ἀρχιερέα, καὶ ἐξωμολογήθη εἰς αὐτὸν μὲ συντριβὴν καρδίας τὴν ἁμαρτίαν του· ὅστις τὸν ὑπεδέχθη εὐμενῶς, τὸν ἐνουθέτησε πατρικῶς καὶ τὸν ἐπαρηγόρησεν ὡς ὄντως ἀρχιερεὺς, καὶ δίδοντάς του κάνονα, τὸν ἔστειλεν εἰς ἕνα Μοναστήριον ἐπάνω εἰς τὸ ὄρος τοῦ Λιβάνου, διὰ νὰ ἡσυχάσῃ ἐκεῖ τὴν μεγάλην Τεσσαρακοστὴν καὶ μετὰ τὸ Πάσχα νὰ ὑπάγῃ καὶ ὁ ἀρχιερεὺς νὰ τὸν μυρώσῃ· ἀλλ' ἐπειδὴ καὶ ἐξ αἰτίας του ἐκινδύνευεν ὁ ἀρχιερεύς, ἀνεχώρησεν ἐκεῖθεν, καὶ ἐπῆγεν εἰς τὸ Ἄκρι, μὲ ἀπόφασιν διὰ νὰ παῤῥησιασθῇ· ἀλλ' εὑρὼν ἐναντία τὰ πράγματα καὶ ἐκεῖ· μάλιστα ἀκούσας ἀπὸ τὸν Ἅγιον Πτολεμαΐδος, ὅτι πρέπει νὰ κάμῃ τὴν ὁμολογίαν τῆς πίστεως, ἐκεῖ ὁποῦ ἔκαμε καὶ τὴν ἄρνησιν, ἐμβῆκεν εἰς ἕνα καράβι, διὰ νὰ ὑπάγῃ εἰς τὸ Μισῆρι· ἀλλὰ τοῦ Θεοῦ οἰκονομοῦντος κατὰ ἄλλον τρόπον τὴν σωτηρίαν του, τὸ καράβι ἐμποδίσθη ἀπὸ φουρτούνας μεγάλας, καὶ κατήντησεν εἰς τὸ Γιάφα. Ὅθεν καὶ βλέπωντας τὰ τόσα ἐμπόδια, ἄλλαξε σκοπὸν, καὶ πλεύσας μὲ ἕνα Σάμιον καΐκι, ἐπῆγεν εἰς τὴν Χίον, διὰ νὰ κάμῃ τὴν ὁμολογίαν του ἐκεῖ, ἀλλὰ καὶ πάλιν ἐμποδίσθη καὶ ἐκεῖ ἀπὸ κάποια αἴτια, καὶ εἰς τὰς ιγ'. τοῦ Ἰουνίου ἐμίσευσεν ἀπὸ τὴν Χίον διὰ τὴν Σμύρνην, διψῶν νὰ ὑπομείνῃ κἂν ἐκεῖ τὸν ὑπὲρ Χριστοῦ θάνατον· ὅμως καὶ ἐκεῖ εὗρεν ἐμπόδια· εἶπον γὰρ αὐτῷ οἱ ἐκεῖ πνευματικοὶ, ὅτι οἱ ἀγαρηνοὶ ἦσαν θυμωμένοι καὶ ἐξαγριωμένοι κατὰ τῶν Χριστιανῶν διὰ τὴν καταισχύνην ὁποῦ τοὺς ἐπροξένησεν τότε πρὸ ὀλίγου τὸ Μαρτύριον τοῦ Δερβίση, καὶ ὅτι ἦτον πολλὰ ἐνδεχόμενον ἀπὸ τὴν νέαν τούτου παῤῥησίαν, νὰ ἀκολουθήσῃ κἀνένας κίδυνος εἰς τοὺς Χριστιανούς· ἐγὼ δὲ νομίζω, ὅτι ὅλα τὰ ἐξ ἀρχῆς ἐμπόδια ταῦτα νὰ ἦσαν ἐνέργειαι τοῦ μισακάλου δαίμονος, διὰ νὰ τὸν ψυχράνῃ νὰ παραιτηθῇ ἀπὸ τὴν σωτήριον ὁμολογίαν του· λοιπὸν ὑπέστρεψεν μετὰ λύπης μεγάλης πάλιν εἰς τὴν Χίον κατὰ τὰς ἕνδεκα τοῦ Ἰουλίου· ἀλλ' ὁ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν Κύριος πολλάκις μεταχειρίζεται καὶ ἐκεῖνα ὁποῦ εἰς ἡμᾶς φαίνονται ἐναντία, εἰς τὸ καλλίτερον καὶ συμφέρώτερον· καὶ οὕτως ἔγινε καὶ εἰς τοῦτον τὸν μακάριον. Ἐπιστρέψας γὰρ εἰς τὴν Χίον, λαμβάνωντας συμβουλὴν καὶ παρακίνησιν ἀπὸ κάποιον πνευματικὸν πατέρα ξένον, νὰ κάμῃ τώρα, ἐκεῖνο ὁποῦ ἔπρεπε νὰ κάμῃ προτίτερα, καὶ δὲν τὸ ἔκαμε, μὲ τὸ νὰ ἔτρεχε σπουδακτικὰ εἰς τὸ στάδιον· λαμβάνει δηλαδὴ συμβουλὴν νὰ προετοιμασθῇ καλῶς, καὶ νὰ καθοπλισθῇ ἀσφαλῶς μὲ τὰ πνευματικὰ ὅπλα τῆς ἀληθινῆς, καὶ τελείας μετανοίας, ὡσὰν ὁποῦ ἔμελλε νὰ παραταχθῇ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας πνεύματα ἐν τοῖς ἐπουρανίοις, κατὰ τὸν θεῖον Παῦλον. Καὶ λοιπὸν παρευθὺς ἄρχισε νὰ ἀγωνίζεται μὲ νηστείας, προσευχὰς, γονυκλισίας, παρακλήσεις εἰς τὴν Θεοτόκον, καὶ ἀναγνώσεις καὶ εἰς ἄλλα ψυχωφελῆ βιβλία, ἀλλὰ μάλιστα εἰς τὰ Μαρτύρια τῶν Ἁγίων· ὅθεν καὶ εἰς τόσην συντριβὴν ἦλθεν ὁ εὐλογημένος ὥστε ὁποῦ ἔκλαιε πικρῶς, καὶ πολλὰς νύκτας ἐπέρασεν ἄϋπνος ἀναστενάζων ἐκ βάθους καρδίας καὶ ἐπικαλούμενος τὴν Θεοτόκον εἰς βοήθειαν· ὅθεν καὶ εἰς τοὺς ἀκούοντας καὶ ὁρῶντας πολὺν οἶκτον ἐκίνει, καὶ συμπάθειαν· κοντὰ δὲ εἰς ὅλα ταῦτα ἔγραψε καὶ τὰς ἁμαρτίας του ὅλας, ὅσας ἤμαρτεν ὡς ἄνθρωπος εἰς ὅλην του τὴν ζωὴν, διὰ νὰ μὴν ἀστοχήσῃ κἀμμίαν, καὶ τὰς ἐξωμολογήθη μὲ μίαν λεπτομερῆ, καὶ ἀληθινὴν ἐξομολόγησιν. Τέλος πάντων ἀφοῦ ἐπληρώθη-

σαν τεσσαράκοντα ἡμέραι, μὴ δυνάμενος νὰ ἀναβάλῃ πλέον τὸν καιρὸν, ἀπὸ τὴν φλόγα ὁποῦ ἄναπτεν εἰς τὰ σπλάγχνα του διὰ τὸ Μαρτύριον, ἔλαβε τὰς ἱλαστικὰς εὐχὰς, κατὰ τὴν ἱερὰν τάξιν τῆς Ἐκκλησίας· ἐχρίσθη τῷ Ἁγίῳ Μύρῳ· ἐμετάλαβε τὰ ἄχραντα Μυστήρια· καὶ οὕτω στομωθεὶς τὴν ψυχὴν, καὶ δυναμωθεὶς μὲ τὴν ἐπουράνιον τροφὴν, ἐξῆλθε τῆς νήσου εἰς τὰς εἴκοσι πέντε τοῦ Αὐγούστου, συνοδευθεὶς καὶ ἀπὸ ἕνα θεοσεβῆ, καὶ ζηλωτὴν ἀδελφὸν, μὲ τὸν ὁποῖον ἀντάμα ἀπέπλευσαν εἰς τὴν νέαν Ἔφεσον, τὸ λεγόμενον Κουσαντασί, διὰ νὰ πληρώσῃ ἐκεῖ τὸν πόθον του μὲ τὸν ὑπὲρ Χριστοῦ θάνατον· τοὺς πολέμους δὲ, καὶ τοὺς λογισμοὺς ὁποῦ τοῦ ἔφερεν ὁ ἐχθρὸς, διὰ νὰ τὸν ἐμποδίσῃ, εἶναι ἀδύνατον νὰ τοὺς περιγράψω, ἀλλ' ὁ γενναῖος ἐκεῖνος, μὲ τὴν δύναμιν τοῦ ἐσταυρωμένου Ἰησοῦ Χριστοῦ, ἐφάνη κατὰ πάντα νικητὴς, καταπατήσας λέοντα καὶ δράκοντα, ὡς αὐτὸς πολλάκις ὁ ἴδιος τοῦτον τὸν λόγον ἐσυνείθιζε νὰ λέγῃ. Πηγαίνωντας λοιπὸν, σὺν Θεῷ ἐκεῖσε κατευόδιον, τῇ ά. Σεπτεμβρίου εἰς τὰς 4. ὥρας τῆς ἡμέρας, ἐπῆγεν ὁ μακάριος εἰς τὸν Μουφτὴν καὶ τὸν λέγει, Ἐγὼ αὐθέντα ἔχω δύω πιστόλας παρμένας, ἡ μία ἀπὸ αὐτὰς εἶναι πολλὰ καλὴ καὶ γερὴ, ἀπὸ ὅλα τὰ μέρη· ἡ ἄλλη εἶναι σακάτικη, τζουρούτικη, καὶ τὰ μπιλεζίκια ὁποῦ ἔχει ἀπ' ἔξω, διὰ νὰ φαίνεται εὔμορφη, τὰ ἔβαλα εἰς τὸ μέγκι, καὶ εἶναι ὅλα κάλπικα· ὅθεν ἐγὼ δὲν τὴν θέλω, ἐπειδὴ μὲ ἐγέλασεν ἐκεῖνος ὁποῦ μοῦ τὴν ἔδωκεν· εἶναι λοιπὸν νόμιμον νὰ τὴν δώσω ὀπίσω, ὡσὰν ὁποῦ εἶναι τοιαύτη; Ὁ Μουφτὴς ἀποκρίνεται, ναὶ, εἶναι νόμιμον. Δός μοι φετουφᾶν τοῦ λέγει ὁ Μάρτυς· καὶ αὐτὸς τοῦ ἔδωκε. Πέρνωντας δὲ τὸν φετουφᾶν ὁ Ἅγιος, τὴν αὐτὴν ὥραν ἀπερνᾷ εἰς τὸν Κατὴν, καὶ τὸν λέγει· ἔχω νταβᾶν· ἐκεῖνος τὸν ἀποκρίνεται, τί εἶναι ὁ νταβᾶς σου; Ὁ Μάρτυς διηγεῖται τὴν ἄνωθεν ὑποθεσιν, καὶ τοῦ δίδει τὸν φετουφᾶν. Ὁ κριτὴς τὸν ἐρωτᾷ, καὶ ποῖος εἶναι ὁ νταβατζής σου; Ἀποκρίνεται ὁ Μάρτυς, ἐσὺ εἶσαι ὁ νταβατζής μου. Ὁ δὲ Κριτὴς τοῦτο ἀκούσας, ἔμεινεν ὡς ἐκστατικὸς, καὶ τοῦ λέγει τί σοῦ ἔκαμα; ἐγὼ ἄλλην φορὰν δὲν σὲ εἶδα. Τότε καθαρώτερα τοῦ λέγει ὁ Μάρτυς. Σήμερον εἶναι δέκα χρόνοι, ὁποῦ μὲ ἐγέλασες, καὶ μὲ ἔκαμες, καὶ ἀρνήθηκα τὴν πίστιν μου, καὶ μοῦ ἔδωκες τὴν ἐδικήν σου, κάμνωντάς με Τοῦρκον· ἐγὼ ἔφυγα, καὶ ἐπέρασα μέσα εἰς τὴν Φραγγίαν, καὶ ἐκεῖ μοῦ εἶπαν, ὅτι ἔχω νὰ κολασθῶ, διατὶ ἄφηκα τὴν πίστιν μου· τώρα ἦλθα, καὶ σοῦ δίδω ὀπίσω τὴν σφραγῖδα ὁποῦ μοῦ ἔδωκες· καὶ λοιπὸν θέλω νὰ ἀποθάνω Χριστιανός· τοῦ λέγει ὁ κριτὴς, ἐγὼ δὲν σὲ ἠξεύρω, οὔτε σὲ εἶδα ποτὲ, πῶς λέγεις, ὅτι ἐγὼ σὲ ἐτούρκισα; ὁ Μάρτυς ἀπεκρίθη· ναὶ, δὲν μὲ εἶδες ἄλλην φορὰν, ἀλλὰ εἰς αὐτὸν τὸν τόπον ὁποῦ σὺ τώρα κάθεσαι, πρότερόν σου ἐκάθητο ἄλλος τοιοῦτος, ὡσὰν καὶ τοῦ λόγου σου· λοιπὸν ὁ ἴδιος ἐκεῖνος εἶσαι σὺ ὁποῦ μὲ ἔκαμες τοιοῦτον· τοῦ λέγει ὁ κριτὴς· αἴ παιδί μου, ἐπειδὴ καὶ θέλεις νὰ ἦσαι γκιαούρης, πήγαινε ὅπου θέλεις καὶ ὡς θέλεις ἀπέρνα. Φράγγος, Ἀρμένης, ὅτι θρησκείαν θέλεις ἐκείνην βάστα· ὁ Μάρτυς τοῦ λέγει· ὄχι, Χριστιανὸς θέλω νὰ ἦμαι· τοῦ λέγει πάλιν ὁ κριτὴς· πήγαινε ὅπου θέλεις· καὶ ὁ Μάρτυς· ὄχι, τὸ σημεῖον τοῦτο ὁποῦ ἔβαλες ἐπάνω μου δὲν ἠμπορῶ νὰ τὸ βλέπω, καὶ διὰ τοῦτο ἦλθα νὰ σοῦ τὸ δώσω ὀπίσω· σημεῖον δὲ ἐννοοῦσεν ὁ Μάρτυς τῆς σαρκὸς τὴν περιτομὴν, ὅτι ἀπὸ αὐτὸ γνωρίζονται οἱ τῆς θρησκείας αὐτῶν ὀπαδοί· ὁ κριτὴς τὸν λέγει, μπρὲ ἀπὸ τὸν νοῦν σου εὐγῆκες; ὁ Μάρτυς· ὄχι, ἐγὼ τὸν νοῦν μου τὸν ἔχω καλὰ, καὶ ἠξεύρω τί λέγω. Τότε ὁ κριτὴς τὸν ἐρωτᾷ, ποῖος εἶσαι; καὶ ποία εἶναι ἡ πατρίς σου; καὶ ὁ Μάρτυς τὸν ἀποκρίνεται· ἡ πατρίς μου εἶναι ἡ Κύπρος, καὶ ἐγὼ εἶμαι Χριστιανῶν γονέων υἱός· ὁ κριτὴς, πόθεν ἦλθες; ὁ Μάρτυς, ἀπὸ τὴν Ἀνατολήν· ὁ κριτὴς, πόσος καιρὸς εἶναι; ὁ Μάρτυς, δύω ἡμέραι· ὁ κριτὴς, ποῦ κατοικεῖς; ὁ Μάρτυς

εἰς τὸν καβενέ· ὁ κριτὴς, τρελὸς εἶσαι· ὁ Μάρτυς, ὄχι, ἀλλ' ἔχω τὰς φρένας μου· ὁ κριτὴς πάλιν τοῦ λέγει, ἔλα εἰς τὸν ἑαυτόν σου· ὁ Μάρτυς, εἰς τὸν ἑαυτόν μου εἶμαι· στοχάσου καλὰ, τοῦ λέγει ὁ κατὴς, ὅτι εἶναι φοῦρκα, εἶναι σπαθὶ, εἶναι βάσανα· ὁ Μάρτυς, ὅλα τὰ ἠξεύρω, καὶ εἶμαι ἀποφασισμένος, καὶ δὲν τὰ στοχάζομαι διὰ τὸ οὐδέν· ἐκεῖνος τοῦ λέγει, δὲν λυπᾶσαι τὴν παλικαριάν σου, τὴν νεότητά σου, τὴν προκοπήν σου; ὁ Μάρτυς λέγει· ὄχι ἀλλὰ τὸ ἔχω χαρὰν μου, νὰ ἀποθάνω διὰ τὴν πίστιν μου· στοχάσου καλὰ, ὅτι δὲν γλυτώνεις ἀπὸ τὰς χεῖράς μου πλέον, ἀλλ' ἔχω νὰ σὲ βασανίσω· ὁ Μάρτυς τὸν ἀπεκρίθη, ἐγὼ αὐτὰ ὅλα τὰ ἐστοχάσθηκα πρότερον, καὶ τότε ἦλθα, καὶ ἔχω τὴν ἐλπίδα μου εἰς τὸν Ἰησοῦν μου Χριστὸν τὸν ἐσταυρωμένον, ὅτι θέλει μὲ βοηθήσει, καὶ θέλει μὲ βάλει εἰς τὸν Παράδεισον. Ἀποκρίνεται ὁ κριτὴς, τὸ λοιπὸν ἡμεῖς ἔχομεν νὰ κολασθοῦμεν; ὁ Μάρτυς μὲ παρρησίαν, καὶ ἀφοβίαν πολλὴν τοῦ λέγει, ναὶ βέβαια, ἔχετε νὰ κολασθῆτε, ἀνίσως καὶ δὲν ἐπιστρέψετε ἀπὸ τὸ σκότος, καὶ ἀπὸ τὴν πλάνην σας· ὁ κριτὴς, τόσοι χρόνοι ἐπέρασαν, καὶ τώρα ἦλθες ἐσὺ νὰ μᾶς διδάξῃς ὁ Μάρτυς, ἀπὸ τὴν θρησκείαν σας δὲν εἶδα δὲν ἐγνώρισα κἀνένα καλόν· εἶναι ἕνα σκότος· ὅλα παραμύθια ἄξια γέλωτος· εἰσθαι ἄνθρωποι σαρκικοὶ, ὅλως διόλου δοσμένοι εἰς ταῖς κακίαις· ἄνθρωποι πεπλανημένοι, ἀπωλεσμένοι· ὁ κριτὴς τοῦ λέγει, ἂν δὲν ἔλθῃς εἰς τὸν νοῦν σου, ἔχω νὰ σὲ κρεμάσω· ὁ Μάρτυς, ἐγὼ καλὰ εἶμαι εἰς τὸν νοῦν μου, καὶ αὐτὰ δὲν τὰ ἔχω διὰ τίποτε, ἐπειδὴ διὰ τοῦτο ἦλθα. Καὶ εὐθὺς προστάζει ὁ κριτὴς νὰ τὸν βάλουν εἰς τὴν φυλακὴν, καὶ τοὺς πόδας του εἰς τὸ ξύλον, καὶ σίδηρα εἰς τὸν λαιμόν του· καὶ οἱ τοῦ κριτοῦ ὑπηρέται ἐν τῷ ἅμα ἔβαλαν εἰς ἔργον τὴν ἀπόφασιν. ἐθαύμασεν ὅμως πολλὰ ὁ δικαστὴς διὰ τὴν μεγαλοψυχίαν καὶ ἀνδρείαν τοῦ Μάρτυρος, καὶ διὰ τὴν τόλμην, μὲ τὴν ὁποίαν τοῦ ἀπεκρίνετο· πλὴν ἐσκανδαλίσθη πρὸς τὸν μουφτὴν, καὶ τοῦ ἐμύνησεν εἰς τοιαῦτα πράγματα δίδεις φετουφᾶν, καὶ γινόμεθα μασκαράδες; ὁ μουφτὴς εἶπεν ὅτι τὸ ἐμετανόησα καὶ ἐγὼ καὶ τὸν ἐγύρευα νὰ τὸν εὕρω διὰ νὰ λάβω ὀπίσω τὸν φετουφᾶν, ἀλλὰ δὲν τὸν ἐπέτυχα· ἐκεῖ δὲ εἰς τὴν φυλακὴν ἦτον καὶ ἕνας νέος φυλακωμένος, ὅστις ἔμελλε νὰ εὔγῃ ἀπὸ τὴν φυλακήν· εἰς τοῦτον ἐπαράδωκεν ὁ Μάρτυς τὸν σταυρὸν ὁποῦ εἶχεν εἰς τὸν τράχηλόν του· διὰ νὰ μὴ τὸν καταπατήσουν, καὶ τὸν περιπαίξουν οἱ ἀλλόπιστοι, καὶ ὀλίγους παράδες ὁποῦ ἐβαστοῦσε ἐπάνω του, λέγωντάς του, δὸς ταῦτα εἰς τοὺς ἱερεῖς, καὶ εἰπέ τους νὰ παρακαλοῦν τὸν Θεὸν διὰ νὰ μὲ στηρίξῃ. Τῇ ἐπαύριον τῇ αὐτῇ ὥρᾳ εὔγαλαν τὸν εὐλογημένον ἀπὸ τὴν φυλακὴν, καὶ ἔστησαν αὐτὸν ἐμπρὸς εἰς ὅλους, Μουφτὴν, Ἐμὲρ ἐφέντην, Βοεβόνδαν καὶ ἄλλους, διὰ νὰ γένῃ λαμπροτέρα δηλαδὴ ἡ ὁμολογία τοῦ Μάρτυρος· λοιπὸν τὸν ἐρωτοῦν ἀπ' ἀρχῆς, ἂν ἦλθεν εἰς τὸν ἑαυτόν του, καὶ ἂν ἐμετανόησε διὰ ἐκεῖνα ὁποῦ εἶπεν· ὁ Μάρτυς ἀπεκρίθη χαρούμενος, ἐγὼ εἰς τὸν ἑαυτόν μου εἶμαι, τὸν νοῦν μου τὸν ἔχω, καὶ ζητῶ καὶ διψῶ τὸν ἐσταυρομένον μου Ἰησοῦν Χριστὸν, καὶ δὲν τὸν ἀρνοῦμαι ἐγὼ ποτὲ, μὴ μοὶ γένοιτο Χριστὲ βασιλεῦ νὰ σὲ ἀρνηθῶ τὸν πλάστην μου· πάντες οἱ ἐξουσιασταὶ ἀπεκρίθησαν ἐκεῖνο ὁποῦ καὶ τὴν πρώτην φορὰν τοῦ εἶπεν ὁ κατὴς, ὅτι ὡσὰν θέλεις νὰ εἶσαι γκιαούρης, πήγαινε ὅπου θέλεις, δὲν σὲ ἐμποδίζει τινάς. Καὶ ὁ Μάρτυς, ὄχι, λέγει, ἀλλ' ἐσὺ ὁποῦ μοῦ ἔδωσες τὴν σφραγῖδα ταύτην, ἐσένα τὴν ἔφερα νὰ τὴν πάρῃς, ὁποῦ εἶναι ἐδική σου, τὴν περιτομὴν λέγων. Ἐκεῖνοι τοῦ λέγουν, μπρὲ ἔλα εἰς τὸν ἑαυτόν σου· ἀποκρίνεται ὁ Μάρτυς, εἰς τὸν ἑαυτόν μου εἶμαι· αὐτοὶ τοῦ λέγουν, δὲν λυπᾶσαι τὸν ἑαυτόν σου, ὁποῦ ἔχομεν νὰ σὲ θανατώσωμεν, ἂν δὲν μετανοήσῃς; ὁ Μάρτυς· πρέπει κάθε ἕνας ὁποῦ ἔχει γνῶσιν νὰ ὑπερμαχῇ διὰ τὴν εὐσέβειαν, καὶ ὄχι διὰ τὴν ἀσέβειαν· (τοῦτο τὸ

εἶπε μὲ ἀραβικὴν γλῶσσαν)· ἐκεῖνοι δὲ ἀκούοντες τοῦτο ἐθαύμασαν, καὶ τοῦ λέγουν, ἔλα νὰ σὲ ὑπανδρεύσωμεν, καὶ νὰ σοῦ δώσωμεν καὶ ἄσπρα ὅσα θέλεις· ὁ Μάρτυς τοὺς λέγει, αὐτὰ ὅλα εἶναι ματαιότης· (τὸ ὁποῖον εἶχε συνήθειαν, ὁ εὐλογημένος νὰ λέγῃ, ὅταν ἐγίνετο κάμμίαν φορὰν συνομιλία περὶ κοσμικῶν πραγμάτων)· τὸν Ἰησοῦν μου θέλω, τὸν Ἰησοῦν μου· τοῦ λέγουν ὅλοι, εὐγῆκες ἀπὸ τὸν νοῦν σου, εὐγῆκες· καὶ ὁ Μάρτυς, ἐγὼ τὸν νοῦν μου τὸν ἔχω, τὸν ἔχω· καὶ βέβαια ἔλεγε καλὰ, πῶς ἔχει τὸν νοῦν του, ἐπειδὴ εἶχε κατοικήσῃ πλέον εἰς αὐτὸν ὁ Ἰησοῦς Χριστὸς, ἡ αὐτοσοφία τοῦ Θεοῦ· αὐτοὶ τοῦ εἶπαν, ἠξεύρεις Τούρκικα γράμματα; καὶ ἀπεκρίθη, ὄχι, ἀλλὰ γλώσσαις ἠξεύρω τέσσαρες, καὶ διὰ νὰ γνωρίσετε, ὅτι ἔχω τὸν νοῦν μου σωστὸν, φέρετέ μου κονδύλι νὰ σᾶς κάμω λογαριασμὸν ἀπὸ ὁποιαν γλῶσσαν θέλετε· τούρκικα, φράγκικα, ἀραβικὰ, ρωμαΐκὰ, ὅτι θέλετε· αὐτοὶ τοῦ λέγουν, δὲν λυπῆσαι τὸν ἑαυτόν σου; ὁ Μάρτυς ἀπεκρίθη, ὄχι, τί νὰ λυπηθῶ; τὴν ἐλπίδα μου ὅλην τὴν ἔχω εἰς τὸν Θεόν· πάλιν τοῦ εἶπαν, δὲν ἐρωτᾷς αὐτὸν τὸν παππᾶν νὰ σοῦ εἰπῇ διὰ τὴν πίστιν σου; καὶ ὁ Μάρτυς, ἐγὼ τὴν πίστιν μου τὴν ἠξεύρω καλλίτερα ἀπὸ τοὺς παπάδες, καὶ δὲν χρειάζομαι νὰ μὲ διδάξῃ τινάς· τὸ λοιπὸν εἶπαν φυλακώσατέ τον φοβερίζοντες, ὅτι ἔχουν ἀπόφασιν αὔριον νὰ τὸν κρεμάσουν, καὶ νὰ συλλογισθῇ· καὶ ἔβαλαν πάλιν τὸν κατὰ ἀλήθειαν μέγαν, καὶ καρτερόψυχον ἀθλητὴν εἰς τὴν φυλακὴν, ἕως εἰς ἄλλην ἐξέτασιν· τὸ βράδυ ἐπρόσταξεν ὁ κριτὴς νὰ τὸν τιμωρήσουν· καὶ ἐδῶ ἂς στοχασθῇ καθ' ἕνας ἕνα τοιοῦτον γένος, ὡσὰν ἐκεῖνο, τί λογῆς ὥρμησαν κατεπάνω του, λαβόντες, παρὰ τοῦ ἐξουσιαστοῦ ἄδειαν· σχεδὸν ὅλην τὴν νύκτα ἐκείνην μὲ διαφόρους τρόπους ἐβασάνισαν τὸν εὐλογημένον· ἄλλοι ἔφεραν τοῦβλα ἀναμμένα, καὶ τὰ ἔβαναν εἰς τοὺς ὤμους, καὶ εἰς τὰς μασχάλας τοῦ Μάρτυρος· ἄλλοι ἔφεραν σάσι πεπυρακτωμένον, καὶ τοῦ τὸ ἐφόρεσαν εἰς τὴν κεφαλὴν ὡσὰν σκούφιαν, κἄποιοι δὲ ἄλλοι πλέον ἀνηλεεῖς, καὶ ἄσπλαγχνοι, μὴ ἀρκεσθέντες εἰς αὐτὰ, ἔφεραν καὶ σύρμα σιδηρένιον, (τὸ λεγόμενον τέλι κοινότερον) καὶ τὸ ἔσπρωξαν εἰς τὸ κρύφιον μέλος· καὶ ἐδῶ κατὰ ἀλήθειαν στοχάζομαι, ὅτι ἐκεῖνοι μὲν ὡς ἐχθροὶ, καὶ ἄσπλαγχνοι ἐθεράπευαν μὲ αὐτὰς τὰς βασάνους τὸν θυμόν τους, καὶ τὴν κακίαν, ἀπέβαιναν δὲ ὅλα κατὰ τὸν πόθον τοῦ Μάρτυρος· εἶχε γὰρ ὁ μακάριος πολὺ μῖσος εἰς τὴν βδελυκτὴν ἐκείνην σφραγῖδα τῆς περιτομῆς, καὶ ὅσον ἐστοχάζετο, πῶς εἶχεν ἐπάνω του τέτοιον μίασμα, ὅλον ἠγανάκτει, καὶ πικρότατα ἀνεστέναζε, καὶ μὲ ἄκρον πόθον ἐζήτει νὰ τὸ ἀποτρίψῃ ἀπὸ πάνω του· λοιπὸν κοντὰ εἰς τὰ ἄλλα του μαρτύρια, μὲ τὰ ὁποῖα ἰάτρευε τὴν ἄρνησίν του, ἔλαβε καὶ τοῦτο, ὡς διὰ θεραπείαν καὶ ἀποβολὴν τῆς βδελυρᾶς ἐκείνης περιτομῆς· τὴν ἄλλην ἡμέραν, ἤτις ἦτον Κυριακὴ, πάλιν εὐγάνουν τὸν Μάρτυρα ἀπὸ τὴν φυλακὴν, συναχθέντες πλῆθος πολὺ ἐκ τῆς θρησκείας των· καὶ πάλιν παρασταίνων εἰς τὸ κριτήριαν τὸ πρόβατον τοῦ Χριστοῦ· ἦν δὲ ὥρα τρίτη τῆς ἡμέρας· καὶ τὸν ἐρωτοῦν· ἦλθες εἰς τὸν ἑαυτόν σου, ἐμετανόησες; καὶ ὁ Μάρτυς· ἐγὼ σᾶς εἶπα, ὅτι εἰς τὸν ἑαυτόν μου εἶμαι, τὸν νοῦν μου τὸν ἔχω· τί μὲ πειράζετε; πάλιν τοῦ λέγουν, ἄλλον καιρὸν πλέον δὲν ἔχεις διὰ νὰ συλλογισθῇς· ἔφθασε τὸ τέλος σου· καὶ ὁ Μάρτυς πραείᾳ φωνῇ ἀπεκρίθη, ἐγὼ τὸν Ἰησοῦν μου δὲν τὸν ἀρνοῦμαι, Χριστιανὸς ἐγεννήθην, Χριστιανὸς θέλω νὰ ἀποθάνω· καὶ αὐτοὶ, αἴ παιδί μου τοῦ λέγουν, καιρὸς δὲν ἔμεινεν ἄλλος, ἔχομεν νὰ σὲ κρεμάσωμεν· τὸ ἠξεύρω ἀπεκρίθη ὁ Μάρτυς· καὶ αὐτοὶ, δὲν λυπῆσαι τὴν παλικαριάν σου, τὴν εὐμορφίαν σου, τὴν νεότητά σου; αὐτὸς ἀπεκρίθη, αὐτὰ ὅλα εἶναι ματαιότης· τὸν Ἰησοῦν μου, τὸν Ἰησοῦν θέλω. Χριστιανὸς εἶμαι, Χριστιανὸς θέλω νὰ ἀποθάνω· δὲν ἀρνοῦμαι τὴν πίστιν μου· δὲν ἀρνοῦμαι τὸν Ἰησοῦν μου. Καὶ αὐτοὶ πάλιν τοῦ λέγουν· αἴ παιδί μου, νὰ ἡ

φοῦρκα, στοχάσου τί ἔχεις νὰ χάσῃς· τοῦ ἔδειξαν καὶ τὸ σχοινίον. Ὁ Μάρτυς τοὺς λέγει αὐτὸ ζητῶ καὶ ἐγώ. Ἐκεῖνοι δὲ ἔλεγαν ἀνάμεσόν τους, ἄλλος φράγγος εἶναι, καὶ ἔχει τόσον ἰνάτι· ἄλλοι πάλιν ἔλεγαν, τοῦτοι οἱ ρωμαῖοι μίαν φορὰν ὅταν εἰποῦν τὸν λόγον, δὲν τὸν πέρνουν ὀπίσω· καὶ κάθε ἕνας ἔλεγε τὸν λόγον του· τότε εὐγαίνει καὶ ἕνας ζηλωτὴς ἐξ αὐτῶν, καὶ λέγει εἰς τὸν Μάρτυρα. Δέκα χρόνια ὁποῦ ἐτούρκισες, δὲν ἐκίλτησες ναμάζι ποτέ; ἤγουν δὲν ἐπροσκύνησες τὸ προσκύνημά μας; λέγει ὁ Μάρτυς· ὄχι, ὄχι. Ἀμὴ τοῦ μπαπαμαρίου τὸ ναμάζι δὲν τὸ ἔκαμες; (προβάλλωντας τοῦτο ὡσὰν μεγάλον τι πρᾶγμα). Ὁ δὲ Μάρτυς βλέπων, ὅτι ὁ καθ' ἕνας μὲ τὰ λόγιά του, ἐμπόδιζαν αὐτὸν ἀπὸ τὴν προσευχὴν· ἐπειδὴ νοερῶς ἐπροσπύχετο ὁ μακάριος, καὶ ὅλον εἰς τὸν Θεὸν εἶχε στηλωμένον τὸν νοῦν, βλέπων, λέγω, ὁποῦ τὸν ἐμπόδιζαν, ἀπεκρίθη μετὰ σφοδρότητος εἰς τὸν ἐρωτήσαντα· τί με πειράζεις ἄνθρωπε; ἐκεῖνος τοῦ λέγει μπρὲ εἶναι φοῦρκα, εἶναι κρεμάλα, Καὶ ὁ Μάρτυς, αὐτὸ, αὐτὸ ζητῶ καὶ ἐγὼ, καὶ ἂς ὑπάγωμεν· καὶ οὕτως ἐπεριπάτησεν ἕως δέκα βήματα· ὦ γενναιότης ἀθλητική! ὦ ἀνδρεία μαρτυρική! ὦ σπουδὴ καὶ προθυμία οὐρανίων ἐπαίνων ἀξία! Τὸν ἅρπαξαν λοιπὸν μὲ ὁρμὴν καὶ ἀγριότητα, εὔγαλαν τὰ φορέματά του, ἔδεσαν ὀπίσω τὰς χεῖράς του, ἔβαλαν τὴν θηλίαν εἰς τὸν λαιμόν του, καὶ τὸν ἐπαράδωσαν διὰ νὰ κρεμασθῇ· ἄλλοι ἔτρεχαν ἐμπρὸς, ἄλλοι ὀπίσω, ὅλοι τους ἔκαμναν μίαν μεγάλην σύγχυσιν ἀνάμεσόν τους ἐπὶ τούτου, τάχα διὰ νὰ δειλιάσῃ ὁ Μάρτυς· αὐτὸς δὲ ὅλον τὸ ἐναντίον ἔμενεν ἄφοβος παντελῶς, καὶ ἀκατάπληκτος· ὅθεν καὶ μυκτηρίζωντάς τους ὡς ἄφρονας, εἶπε πρὸς αὐτούς· ὦ ἀσύνετοι, ἐγὼ ἦλθα μόνος μου αὐτόκλητος, καὶ τώρα φοβεῖσθε νὰ μὴν φύγω; φορῶν δὲ ὁ Μάρτυς τὴν φοῦρκα εἰς τὸν λαιμὸν ὡς κατάδικος, καὶ ἔχων δεδεμένας τὰς χεῖρας, ἦλθεν εἰς τὸν τόπον τῶν καταδίκων· καὶ πάλιν ἄλλοι ἑτοίμαζαν τὸν τόπον, ἄλλοι τὸν ἐρωτοῦσαν ἂν ἐμετανόησεν. Ὁ δὲ Μάρτυς τοὺς ἀπεκρίθη μὲ τὴν αὐτὴν ἀφοβίαν. Ταλαίπωροι, ἡ πίστις σας εἶναι πλάνη· εἶναι ὅλη ματαιότητες· εἶσθε ἄνθρωποι ὅλοι σάρκες· ἔχετε νὰ κολασθῆτε εἰς τὴν γέενναν τοῦ πυρός· ἐγὼ διὰ τοῦτα ὁποῦ μοῦ κάμνετε, ὑπάγω εἰς τὸν Παράδεισον. Ἐκεῖνοι δὲ ὠνόμαζαν τὴν ἀνδρείαν τοῦ Μάρτυρος ἰνάτι, ἤγουν πεῖσμα· ἀλλὰ καὶ κατὰ ἀλήθειαν πεῖσμα ἦτον· πεῖσμα ὅμως ὄντως ἅγιον, πεῖσμα σωτήριον· πεῖσμα, τὸ ὁποῖον πρέπει, καὶ ἀνάγκη εἶναι κάθε Χριστιανὸς νὰ τὸ ἔχῃ ἐναντίον τοῦ σατανᾶ, διὰ νὰ δύναται νὰ τελειώνῃ τὸ θεῖον θέλημα. Καὶ λοιπὸν οὕτω κατησχυμένοι, τοῦ εἶπαν τελευταῖον, μπρὲ ἄλλος καιρὸς πλέον δὲν σοῦ ἔμεινε, καὶ ἔχεις νὰ τὸ μετανοήσῃς. Ὁ δὲ Μάρτυς ἀπεκρίθη τριπλασιάζωντας ἐν ταὐτῷ τὴν ὄντως μακαρίαν, καὶ ἁγίαν ταύτην φωνὴν, Χριστιανὸς, Χριστιανὸς, Χριστιανὸς εἶμαι. Τότε σηκώσαντες αὐτὸν ἀπὸ τὴν γῆν, ἐτράβιξαν τὸ σχοινίον, καὶ οὕτως ἔλαβεν, ὁ ἀοίδιμος Πολύδωρος τὸν δι' ἀγχόνης μαρτυρικὸν Στέφανον· ἐκείνην δὲ τὴν νύκτα τινὲς ἐξ αὐτῶν ἀπὸ μιᾶς ἀπάνθρωποι, χωρὶς νὰ ἐντραποῦν κἂν αὐτὴν τὴν ἰδίαν φύσιν τῆς ἀνθρωπότητος, ἐπῆραν τὰ ῥοῦχα τοῦ Μάρτυρος, καὶ ἄφησαν ὁλόγυμνον τὸ Ἅγιον λείψανον, καὶ τὴν ἡμέραν ἔδεσαν μόνον μὲ ἕνα παλαιόπανον τὰ κρύφια μέλη του· ἔπειτα μετὰ τρεῖς ἡμέρας ἐπρόσταξαν ἕνα Χριστιανὸν νὰ τὸν κατεβάσῃ ἀπὸ τὴν κρεμάλαν· ἔβαλαν δὲ καὶ δύω ἀράπιδες καὶ τὸν ἐσήκωσαν μὲ τὴν σκάλαν, καὶ ὁμοῦ Τοῦρκοι ὀλίγοι, καὶ μερικοὶ Χριστιανοὶ, τὸν ἔθαψαν ἐπάνω ἀπὸ τὰ μνήματα τῶν Ἀρμενίων. καὶ εἰς μὲν τοὺς Χριστιανοὺς ἔγινεν ὁ Μάρτυς, μέγας στηριγμὸς εἰς τὴν εὐσέβειαν, εἰς δὲ τοὺς Ὀθωμανοὺς ἔγινε τόση μεγάλη καταισχύνη, ὁποῦ ἄλλην φορὰν δὲν τοὺς ἠκολούθησε τοιαύτη· ὅθεν μερικοὶ ἀπὸ αὐτοὺς ἐντόπιοι θαυμάζοντες ἔλεγον· τοῦτο ἀληθῶς ἦτον μεγάλον πρᾶγμα· τούτη ἡ ἀνδρεία δὲν ἐστάθη εἰς ἄλλον· ποῖος ἠξεύρει τὰς κρίσεις τοῦ Θεοῦ;

Αὐτὸ εἶναι ἀδελφοὶ τὸ ἀνδρειωμένον καὶ γενναιότατον Μαρτύριον, τοῦ Ἁγίου Μάρτυρος Πολυδώρου. Ὁ δὲ τῶν αὐτοῦ Ἁγίων, καὶ τῶν Μαρτύρων Θεός, ὁ δοξάζων τοὺς αὐτὸν δοξάζοντας, καθὼς τὸ ὑπόσχεται μόνος του· «τοὺς δοξάζοντάς με δοξάσω»· (ά. Βασ. 6'. 32) ἕνα μὲν, θέλωντας νὰ δείξῃ πόσον εὐηρέστησεν εἰς αὐτὸν διὰ τοῦ Μαρτυρίου ὁ Ἅγιος Πολύδωρος, καὶ ἀκολούθως πόσον εὐάρεστοι γίνονται εἰς τὴν μεγαλειότητά του καὶ ὅλοι οἱ ἄλλοι ὁποῦ μαρτυροῦν διὰ τὸ ὄνομά του, κἂν καὶ τὸν ἀρνήθησαν πρότερον· καὶ ἄλλο δὲ διὰ νὰ ἐμφράξῃ τὰ στόματα τινῶν ἀνοήτων, οἵτινες φλυαροῦν, ὅτι δὲν πρέπει νὰ τιμῶνται ὡς μάρτυρες, οἱ τὸν Χριστὸν ἀρνηθέντες πρότερον· διὰ ταῦτα λέγω τὰ αἴτια ἐνήργησε τὸ θαῦμα τοῦτο, μετὰ τὸν θάνατον τοῦ Ἁγίου· τὸ ὁποῖον ἔγινε τοιουτοτρόπως, καθὼς μᾶς τὸ ἐδιηγήθη ὁ εἰς τοῦτο ὑπηρετήσας ἀξιόπιστος ἱερομόναχος· κατὰ τὴν προρρηθεῖσαν νέαν Ἔφεσον ὁποῦ ἐμαρτύρησεν ὁ Ἅγιος Πολύδωρος, ἦτον ἕνας Χριστιανὸς τὸ ὄνομά του Νικόλαος, ὅστις ἔπασχεν ἀπὸ δαιμόνιον φοβερὸν, τὸ ὁποῖον ἐλάλει διὰ στόματός του, καὶ ἐφανέρωνε πολλάκις καὶ αὐτὰ τὰ ἀπόκρυφα, καὶ μυστικά· ὅθεν βλέπωντας αὐτὸν ὁ ῥηθεὶς ἱερομόναχος, ὁ ὁποῖος εἶχε μέρος ἀπὸ τὰ Ἅγια λείψανα, καὶ μέρος ἀπὸ τὸ σχοινίον, μὲ τὸ ὁποῖον ἐκρέμασαν τὸν Μάρτυρα Πολύδωρον, ἐσυμπόνεσε τὴν συμφορὰν τοῦ δαιμονισμένου, ὡς συμπαθὴς, καὶ φιλάδελφος· καὶ βάνωντας τὸ μὲν σχοινίον μέσα εἰς τὴν παλάμην του, τὸ δὲ δάκτυλον τοῦ Μάρτυρος μέσα εἰς τὸν κόλπον του, ἐπῆγεν εἰς τὸν πάσχοντα· καὶ ὢ τοῦ θαύματος! εὐθὺς μόνον ὁποῦ ἐμβῆκεν εἰς τὴν θύραν τοῦ οἴκου του, καὶ τὸν εἶδεν ὁ δαιμονισμένος, ἠγριώθη τὸ δαιμόνιον, καὶ μὲ μεγάλας φωνὰς ἔκραξε· τί ἦλθες ἐδῶ νὰ μὲ καύσῃς; (καλῶν αὐτὸν ἐξ ὀνόματος)· ἐκάηκα, ἐκάηκα. Ὁ δὲ ἱερομόναχος, πλησιάσας κοντίτερα, καὶ ἐκβαλὼν τὸ καλυμαύχιόν του ἐπετίμησε τὸ δαιμόνιον ἐν ὀνόματι τοῦ Κυρίου, διὰ νὰ εἰπῇ, διὰ τί φωνάζει τοιουτοτρόπως; ὁ δὲ δαίμων διαζόμενος ἀπὸ τὴν ἀόρατον τοῦ Θεοῦ δύναμιν ὡμολόγησε καὶ μὴ θέλων τὴν ἀλήθειαν· λέγων, ὅτι ἐκάηκα, ἐπειδὴ μοῦ ἔφερες ἐδῶ τὸ δάκτυλον, καὶ τὸ σχοινίον τοῦ Μάρτυρος Πολυδώρου· καὶ οὕτω φωνάζων εὐγῆκεν ἀπὸ τὸν πάσχοντα, καὶ ἔμεινεν εἰς τὸ ἑξῆς ὁ ἄνθρωπος ὑγιὴς, διὰ τῆς χάριτος τοῦ Ἰησοῦ Χριστοῦ, τῆς ἐνοικούσης καὶ μετὰ θάνατον εἰς τὰ τίμια λείψανα τοῦ Ἁγίου αὐτοῦ Μάρτυρος Πολυδώρου· οὗ ταῖς πρεσβείαις λυτρωθείημεν καὶ ἡμεῖς ἀπὸ πάσης ἐπηρείας δαιμονικῆς, καὶ ἀξιωθείημεν τῆς βασιλείας τῶν οὐρανῶν. Ἀμήν.

Ὠδὴ, ζ'. Οὐκ ἐλάτρευσαν.

Τί καλεῖτέ με, φρενόληπτον παράφρονες; Μάρτυς πολύδωρε, ἐβόας τοῖς δικασταῖς· ἐπίγνωτε ἄνομοι ὡς οὐκ ἐξέστηκα τὴν δ' εὐσέβειαν, οὐδέποτε ἀρνήσομαι, κἂν πολλάκις ἀποθάνω·

Ὅλος ἔνθεος, γενόμενος πολύδωρε, τοῖς ἀπειλοῦσί σοι Ὀθωμανοῖς εὐθαρσῶς, ἐβόας τὰ βάσανα, ἃ μοι προτείνετε, ξίφος θάνατον, ἀγχόνην οὐδὲν ἥγημαι δι' ἀγάπην Ἰησοῦ μου·

Ἱκεσίαις σου, ταῖς θείαις ἐλευθέρωσον, Μάρτυς πολύδωρε, τοὺς ὑμνητάς σου ἡμᾶς, ἐκ πάσης κακώσεως ἐν ᾧσῳ πνέομεν, καὶ ἐκλείποντας, εἰς τὰς μονάς σου πρόσδεξαι, κἂν τὸ αἴτημα ᾖ μέγα.

Θεοτοκίον.

Σοῦ πανύμνητε, τῆς μεσιτείας ἄνευθεν, νόων βροτῶν τε οὐδείς, ἔχει ἐλθεῖν πρὸς Θεὸν, σὺ γὰρ μόνη γέγονας καινὸν μεθόριον, κτιστῆς φύσεως, καὶ τῆς ἀκτίστου πάναγνε· ὢ πραγμάτων παραδόξων.

Ὠδὴ ζ'. Τοῦ δευτέρου. Ἡ Κάμινος σωτήρ.

Εἰς τέλος τὸν ἐχθρὸν κατετρόπωσας, ἐπεὶ τῆς εὐσεβείας τῷ θώρακι, σὺ καθωπλίσθης μάκαρ, ἀθλοφόρε Πολύδωρε.

Ἐπάτημαι ἐβόας Πολύδωρε, ἐπεὶ τὸν Ἰησοῦν μου ἠθέτησα, ἀναλαβεῖν δι' ὃ τοῦτον, αὖ πάλιν ἐπείγομαι.

Τὰ ἔπαθλα τῶν ἄθλων σοὶ δέδωκε, τῶν ὅλων ὁ Δεσπότης καὶ Κύριος, ὑπὲρ αὐτοῦ θεόφρον, γενναίως ἀθλήσαντι.

Θεοτοκίον.

Ἱκέτευε ὃν ἔτεκες Κύριον, ὡς εὔσπλαγχνον τῇ φύσει ὑπάρχοντα, θεογεννῆτορ σῶσαι, τὰς ψυχὰς τῶν ὑμνούντων σε.

Ὠδὴ ἡ. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Λαμπρὰ ἡ πρὸς ἄθλησιν ὁρμή σου, λαμπρὰ δὲ καὶ ἡ παράστασίς σου γέγονε, λαμπρὰ καὶ ἡ ἄθλησις, λαμπρὰ καὶ τὰ τρόπαια κατὰ τοῦ πολεμήτορος ἅπερ ἀνέστησας, τοῦ τρόποις ἐν ποικίλοις τρισμάκαρ, πρὸς τὴν ἄθλησίν σου ἐμποδῶν γενομένου.

Ὅλοι ἀσελγεῖς καὶ ὅλοι σάρκες· ὅλοι μεματαιωμένοι ὄντως πέλετε, τοῖς ἀπίστοις ἔλεγες, ἔνδοξε Πολύδωρε· καὶ εἰς πῦρ κολασθήσεσθε ἂν μὴ πιστεύσητε, Χριστῷ, τῷ ἀληθεῖ Θεοῦ λόγῳ, καὶ ποιητῇ κόσμου, ἐάσαντες τὴν πλάνην.

Γενναῖε περόνῃ διεπάρης, τὸ κρύφιον μέλος τὸ ἐπιδεξάμενον, πλάνης τὸ ἐκσφράγισμα, καὶ ἡδέως ἤνεγκας, τὰς ἀλγηδόνας Ἅγιε καὶ ἀνεκραύγαζες, τὸ μῖσος διὰ ταύτης ἐκτρίψω, ὃ φέρειν οὐκ ἔχω ἐπὶ τῷ σώματί μου.

Θεοτοκίον.

Ὅλος Γαβριὴλ ὁ θεῖος λάμπων, λαμπρότητι ἀρχαγγελικῶς θεόνυμφε, σοῦ τῇ ὑπὲρ ἀγγέλων, ἀγνείας λαμπρότητι, ἀντελλαμφθεὶς νενίκηται σὲ ἀσπαζόμενος, καὶ γέγονε, βραχὺ ὥσπερ ἄστρον, κρυβὲν τῇ ἐλλάμψει ἀνίσχοντος ἡλίου.

Ὠδὴ, ἡ. τοῦ 6'. Ὃν φρίττουσιν.

Ἐφέσει πολύδωρε Χριστοῦ κατασχεθείς, τὴν Ἔφεσον ἔνδοξε κατέλαβες σκιρτῶν, ἀνόμους δὲ ἐλέγξας ὑπ' αὐτῶν ἀθλητὰ, ἀγχόνῃ ἀνηρτήθης, ἐν ᾗ καὶ τελειοῦσαι.

Τὸ ὄντως ἀκρότατον πάντων τῶν ἐφετῶν, κατείληφας ἔνδοξε τὸν μόνον Ἰησοῦν· δυσώπησον τοῦτον τοῦ ῥυσθῆναι πυρὸς, καὶ ἀξιωθῆναι ἡμᾶς ζωῆς ἀλύπου.

Εἰσδέδεξαι βάπτισμα, Πολύδωρε σοφὲ, δευτέροις χραινόμενον ἐν ῥύποις μηδαμῶς, ἁπάντων τῶν ἄλλων βαπτισμάτων σαφῶς, ἀσφαλέστερόν τε καὶ φέρτερον.

Θεοτοκίον.

Ἀνάστησον κείμενον, εἰς βάθη με κακῶν· τοὺς νῦν πολεμοῦντας με, πολέμησον ἐχθρούς· τρωθεῖσαν ἀτόποις ἡδοναῖς τὴν ψυχὴν ἀγνὴ μὴ παρίδῃς, ἀλλ' οἰκτειρον καὶ σῶσον.

Ὠδὴ, θ'. Ἅπας γηγενής.

Ἱεροὶ χοροὶ, Ἀγγέλων νῦφράνθησαν ἐν τῇ ἀνόδῳ σου· τάγματα Μαρτύρων δὲ, φαιδρῶς σκιρτῶντα σὲ ὑπεδέξαντο, εἰς ἑαυτῶν σκηνώματα ὡς ἐναθλήσαντα, ψυχῆς γνώμη, ἀνδρεία Πολύδωρε, καὶ ἀνόμων τὴν πλάνην ἐλέγξαντα.

Στήριγμα πιστῶν, καὶ δόξα καὶ καύχημα Μάρτυς Πολύδωρε, διὰ τῆς ἀθλήσεως, τῆς σῆς ἐδείχθης τύπος γενόμενος, αὐτοῖς ὑπὲρ τῆς πίστεως ἀθλεῖν στερρότατα· τῶν δ' ἀπίστων, αἰσχύνη αἰώνιος, ἣν οὐδέποτε ἄλλοτε ἔπαθον.

Ἔχεις ἀληθῶς, ἔχεις τὸν Παράδεισον νῦν ὃν ἐπόθησας, περὶ οὗ προέλεγες, ζῶν ἐν τῷ βίῳ Μάρτυς Πολύδωρε· ἀλλὰ καὶ ἡμᾶς, πρέσβευε τοὺς ἀγαπῶντάς σε, Παραδείσου γενέσθαι οἰκήτορας, μετὰ σοῦ εἰς αἰῶνα τὸν ἅπαντα.

Θεοτοκίον.

Ὑμνοις σε ἀγνὴν, ὑμνῶ τὴν πανύμνητον, ἣν ἡ ἐγκόσμιος, καὶ ἡ ὑπερκόσμιος, γλῶσσα καὶ πᾶσα πνοὴ γεραίρουσιν, ὡς τὸν Θεὸν γεννήσασαν τὸν ὑπερύμνητον· ὃν ὑμνοῦσι χιλιάδες χίλιαι, μυριάδες τε μύριαι ἄγγελοι.

Ὠδὴ, θ'. Τοῦ 6'. Τὴν Ζωοδόχον πηγήν.

Ὡς εὐωδέστατον κρῖνον Πολύδωρε, τοῦ νοητοῦ Παραδείσου γενόμενος, εὐωδίαις ἄθλων σου, τὴν ψυχήν μου εὔφρανον, τὴν δυσωδίαν αὐτῆς ἀποδιώξας, ἣ ἐκ πταισμάτων καὶ παθῶν αὐτῇ προσγίνεται.

Ἐν οὐρανοῖς ἐντρυφῶν παμμακάριστε, τῆς ἀκηράτου καὶ θείας λαμπρότητος, τὴν ψυχήν μου φώτισον ἔνδοξε Πολύδωρε, τῶν σῶν ἀγώνων ἀκτῖσι ταῖς φανωτάταις, καὶ τῶν παθῶν τὸν σκοτασμὸν Μάρτυς μείωσον.

Τοῦ Ἰησοῦ τῇ δυνάμει καὶ χάριτι, σὺ τὸν ἀγῶνα θεόφρον διήνυσας, σταθερῶς Πολύδωρε, καὶ στεφάνων ἔτυχες, καὶ τοῖς χοροῖς συναγάλλῃ τῶν Μαρτύρων, δι' ὧν ἡμῶν τῶν ὑμνούντων σε μέμνησο.

Θεοτοκίον.

Φεῖσαι ἡμῶν τῶν ὑμνούντων σου Κύριε, τὴν ἐκ Παρθένου ἀνέκφραστον γέννησιν, πειρασμῶν ῥυόμενος καὶ παθῶν καὶ θλίψεων, ταῖς ἱκεσίαις αὐτῆς, τοὺς σοὺς οἰκέτας, ὡς εὐεργέτης καὶ μόνος φιλάνθρωπος.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ὅπου ἦχος ἀκούεται, ἑορταζόντων ἅγιε· ὅπου τρυφῇς ὁ χειμάῤῥους, εἰρηνικῶς πελαγίζει, τοὺς Μακαρίους ἅπαντας· ὅπου χαρὰ ἀνέκφραστος, ἐκεῖσε κατασκηνῶσαι Πολύδωρε ἠξιώθης.

Θεοτοκίον.

Πορφύρα θεούφαντος, καὶ στολὴ θεοποίκιλτος, χρυσοειδὴς διπλοΐς τε, τοῦ λόγου τοῦ ἀνδρωθέντος· καὶ ὕλη παναρμόνιος, τῆς θείας σωματώσεως, σὺ Μαριὰμ ἀνεδείχθης, ὑπὲρ κατάληψιν πᾶσαν.

Εἰς τοὺς Αἴνους, ἦχος πλ. δ'.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος! πῶς ἐν ὑστέροις καιροῖς, ὁ γενναῖος Πολύδωρος, πρὸς τὰ τῆς ἀθλήσεως ηὐτομόλησε σκάμματα! καὶ τὴν τυράννων πλάνην κατήσχυνε, καὶ εὐσεβείας κήρυξ γεγένηται! Δόξα σοι δόξα σοι, Παντοκράτωρ Κύριε, ὅτι καὶ νῦν, ἐφ' ἡμῶν τὸ ὄνομα, σοῦ ἐθαυμάστωσας.

Δεῦτε τιμήσωμεν ἅσμασι, τὸν μαργαρίτην Χριστοῦ, καὶ πολύτιμον ἄνθρακα, τὸν νέον Πολύδωρον, Λευκοσίας τὸ καύχημα· ἐξομοσάντων, τύπον τὸν ἄριστον· πιστῶν ἁπάντων, τὸ μέγα στήριγμα· πίστεως φύλακα. Ἐκκλησίας στέφανον καὶ χαρμονήν· καὶ δόξης ὑπόθεσιν, Θεοῦ ὑπάρχοντα.

Σοῦ προσκυνοῦμεν τὰ λείψανα, καὶ τὴν εἰκόνα πιστῶς, ὦ γενναῖε Πολύδωρε, καὶ σὲ ἱκετεύομεν, ἀπὸ πάσης κακώσεως, ὀργῆς καὶ βλάβης παντοίας λύτρωσαι, ἡμᾶς τοὺς πόθῳ ἀνευφημοῦντάς σε· καὶ μετὰ θάνατον, ῥῦσαι τῆς κολάσεως καὶ οὐρανῶν, βασιλείας ποίησον, μετόχους Ἅγιε.

Ὡς ἑωσφόρος ἐφαίδρυνας, τὸ νοητὸν τοῦ Χριστοῦ, Ἐκκλησίας στερέωμα, ἀθλητὰ Πολύδωρε, ταῖς ἀκτῖσι τῶν ἄθλων σου, καὶ πᾶντα μάκαρ, λίαν ἐθέρμανας, πρὸς θεῖον πόθον, οἷα περ ἥλιος, τὰ Χριστεπώνυμα, τῶν βροτῶν συστήματα· ὅθεν τὴν σὴν, σεβασμίαν ἄθλησιν πανηγυρίζουσι.

Δόξα, ἦχος, πλ. δ'.

Ἰάκωβον τὸν Πέρσην, καὶ Μείρακα τὸν Αἰγύπτιον, τοὺς ἐξομόσαντας πρίν, καὶ ὑπὲρ Χριστοῦ ὕστερον ἀναφανέντας Μάρτυρας, καὶ ὑπὸ τῆς πανταχοῦ Ἐκκλησίας δοξαζομένους, ζηλώσας νεομάρτυς Πολύδωρε, τὸν διὰ βασάνων καὶ ἀγχόνης μαρτυρικὸν ὑπὲρ Χριστοῦ ὑπέμεινας θάνατον, καὶ τῶν ἴσων στεφάνων ἐκείνοις τετύχηκας. Ὅθεν, τίς μὴ προσείπῃ σε νέον ἀθλητὴν τοῦ Χριστοῦ καὶ Μάρτυρα; ἢ, τίς ἐκ τοῦ ἴσου μὴ δοξάσῃ δικαίως τὴν μνήμην σου; Μάρτυς οὖν ἀληθὴς ὑπάρχων, καὶ μαρτυρικὴν ἔχων τὴν παῤῥησίαν πρὸς Χριστὸν, τὸν σὲ στεφανώσαντα, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι. Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά· εἰς τοὺς Μακαρισμοὺς τὴν γ'. ᾠδὴν τοῦ ά. Κανόνος· τὴν ς'. τοῦ δ'. Μετὰ τὸ Τρισάγιον τὸν Ἀπόστολον, καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Δημητρίου. Κοινωνικὸν, εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Μεγαλυνάρια τοῦ Ἁγίου.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ, τοὺς λαμπροὺς ἀγῶνας, Πολυδώρου τοῦ ἀθλητοῦ, τοῦ ἐν τοῖς ἐσχάτοις καιροῖς ἀναφανέντος, Μάρτυρος θεῖγόρου, τῆς θείας πίστεως.

Δεξαι εὐσυμπάθητε τὰς λιτὰς, ἡμῶν τῶν σῶν δούλων, ἃς ἐκ στόματος ῥυπαροῦ, καὶ γλώσσης βεβήλου, προσάγομεν αἰτοῦντες, ἁμαρτυμάτων λύσιν τῇ μεσιτείᾳ σου.

Δόξης ἀπροσίτου μαρμαρυγαῖς, καὶ θείαις ἀκτῖσιν, ἐλαμπόμενος ἀθλητά, Πολύδωρε μάκαρ, τῆς τριλαμποῦς καὶ θείας, Τριάδος ταῖς ᾠχαῖς σου, ἡμᾶς καταύγασον.

Μάρτυς ἀθλοφόρε ταῖς πρὸς Θεὸν, ἱεραῖς εὐχαῖς σου, διατήρει τοὺς εὐλαβῶς, τῇ σῇ θείᾳ σκέπῃ, προσφεύγοντας ἐκ πάντων, παθῶν τε καὶ κινδύνων, ψυχῆς καὶ σώματος.

Κατὰ τὸ αὐτὸ ἔτος, ἐν μηνὶ Ὀκτωβρίῳ ἡμέρᾳ β'.

ΕΜΑΡΤΥΡΗΣΕΝ ΕΙΣ ΤΟ ΚΑΡΑΤΣΑΣΟΥ Ο ΜΑΡΤΥΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΧΑΤΖΗ ΓΕΩΡΓΙΟΣ

Οὗτος ὁ εὐλογημένος ἦτον ἀπὸ τὴν Φιλαδέλφειαν Χριστιανῶν γονέων υἱός· ἐρχόμενος δὲ εἰς ἡλικίαν, ἔμαθε τὴν τέχνην τῶν ἀμπατζήδων, καὶ ἀναχωρῶντας ἀπὸ τὴν πατρίδα του ἐπῆγεν εἰς τὴν ἐπαρχίαν τοῦ Ἡλιουπόλεως εἰς μίαν χώραν καλουμένην Καρατζασοῦ, καὶ ἐκεῖ ἀνοίγωντας ἐργαστήριον ἐδούλευε τὴν τέχνην του· ὤντας δὲ μίαν νύκτα εἰς εὐθυμίαν, καὶ ξεφάντωμα ὁμοῦ μὲ ἄλλους ὁμοίους του, συνέβη νὰ εὔγη ἔξω ἕνας ἀπὸ αὐτοὺς διὰ ὑπηρεσίαν, καὶ μεθυσμένος ὤν, ἐκρημνίσθη ἀπὸ ὕψος πολύ, καὶ ἐθανατώθη· ὅθεν ἐπειδὴ καὶ ὁ ἐξουσιαστὴς τοῦ τόπου ἐζήτει κατὰ τὴν συνήθειαν τὸ τζερεμέ του· ἔκαμαν οἱ ἐκεῖ σε Χριστιανοὶ καταλόγον διὰ νὰ δώσῃ ὁ κάθε ἕνας τὸ ἀνάλογόν του· ἀλλ' ὁ εὐλογημένος Γεώργιος ἐναντιούμενος εἰς τοῦτο ἔλεγεν, ὅτι ἐγὼ τοτὲ δὲν δίδω ντζερεμὲ δι' αὐτὴν τὴν ὑπόθεσιν, διότι εἶναι μεγάλη ἀδικία νὰ πληρώνῃ τινὰς χωρὶς νὰ πταίῃ· καὶ βάνωντας πεῖσμα εἰς τοῦτο, ἔκαμε χρεία νὰ τὸν παραστήσουν εἰς τὸν ἐξουσιαστήν· καὶ ἐκεῖ ἐρωτώμενος παρ' αὐτοῦ, διὰ τί δὲν δίδει τὸ ἀνάλογόν του, ἀποκρίνεται μετὰ θυμοῦ· ἔχεις φερμάνι σὺ, ὅταν σκοτόνωνται οἱ γκιαούρηδες νὰ πληρώνουν οἱ Τοῦρκοι ντζερεμέ; ἀκούωντας δὲ τοῦτο ὁ ἡγεμὼν τὸν ἐρωτᾷ· σὺ τί εἶσαι; ἐκεῖνος δὲ ὤντας τετυφλμένος ἀπὸ τὸν θυμὸν ἀποκρίνεται, φεῦ! ὅτι εἶναι Τοῦρκος· καὶ ἐν τῷ ἅμα χωρὶς ἀναβολὴν καιροῦ, τὸν ἐτούρκισαν· ἀλλὰ μετὰ ὀλίγας ἡμέρας ἦλθεν εἰς τὸν ἑαυτόν του, καὶ στοχαζόμενος τὸ κακὸν ὁποῦ ἔπαθεν, ἐμετανόησε, καὶ κλαίων πικρῶς τὴν ἀνομίαν του, ἐζήτει τὴν διόρθωσιν· ὅθεν εὑρίσκωντας εὐκαιρίαν ἔφυγε, καὶ ἐπῆγεν εἰς τὸ Ἅγιον Ὄρος, καὶ διατρίψας ἐκεῖ χρόνους ἱκανούς, ἐξωμογήθη τὴν ἁμαρτίαν του, καὶ κάνωντας τὸν πρέποντα κανόνα ἐμυρώθη, καὶ ὅσον ἐδύνατο ἠγονίζετο μὲ κάθε τρόπον, διὰ νὰ ἐξιλεώσῃ τὸν Θεὸν εἰς τὸ μέγα παράπτωμα τῆς ἀρνήσεως ὁποῦ ἔκαμεν· ὅμως ἡ συνείδησίς του πάντοτε τὸν ἔτυπτε, καὶ ἐνθυμούμενος τοὺς λόγους τοῦ Κυρίου ὁποῦ εἶπεν· «ὅστις μὲ ἀρνήσηται ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ἀρνήσομαι αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου»· ἐσοχάζετο ὅτι κατὰ ἄλλον τρόπον δὲν εἶναι δυνατὸν νὰ θεραπεύσῃ τὴν ἄρνησιν τοῦ Χριστοῦ ὁποῦ ἔκαμε, παρὰ μὲ τὸ νὰ τὸν ὁμολογήσῃ πάλιν ἔμπροσθεν εἰς ἐκείνους ὁποῦ τὸν ἠρνήθη, καὶ οὕτως ἦλθεν εἰς τὸν πόθον τοῦ Μαρτυρίου· κοινολογῶν δὲ τὸν σκοπόν του εἰς μερικοὺς πνευματικοὺς πατέρας, καὶ εὑρὼν αὐτοὺς συμφώνους εἰς τὸν πόθον του, ἄρχισε νὰ μοιράζῃ ἐλεημοσύνην ὅτι καὶ ἂν εἶχεν εἰς τοὺς πατέρας, παρακαλῶν αὐτοὺς νὰ δέωνται τοῦ Θεοῦ, διὰ νὰ τὸν ἐνδυναμώσῃ νὰ σταθῇ στερεὸς εἰς τὴν πίστιν τοῦ Χριστοῦ, καὶ νὰ ὑπομείνῃ τὰ βάσανα τοῦ Μαρτυρίου· καὶ ἀναχωρῶν ἐκεῖθεν, ἐπῆγεν εἰς τὸ Καρατζασοῦ. Ἐκεῖ ὁποῦ ἔκαμε τὴν ἄρνησιν, ἐκεῖ νὰ κάμῃ καὶ τὴν ὁμολογίαν· καὶ βλέποντές τον οἱ Τοῦρκοι τὸν ἐγνώρισαν, καὶ παρευθὺς ἁρπάσαντες αὐτὸν, τὸν ἐπῆγαν εἰς τὸν κρι-

τὴν, μαρτυροῦντες, ὅτι οὗτος τὸν δεῖνα καιρὸν ἠρνήθη τὸν Χριστὸν, καὶ ἔγινε Τοῦρκος, καὶ τώρα ἦλθεν ἐδῶ, καὶ ἰδὲ τί φορεῖ; ὁ κριτὴς ἠρώτησε τὸν Γεώργιον ἂν ἦναι ταῦτα ἀληθινά· ὁ δὲ τοῦ Χριστοῦ Μάρτυς μὲ μεγάλην εὐτολμίαν ἀπεκρίθη· ὅτι ἀληθινὰ ἐγὼ εἶμαι ὁ χατζῆ Γεώργιος ὁποῦ τὸν δεῖνα καιρὸν ἀπὸ ἀφροσύνην μου ἐγελάσθηκα, καὶ ἠρνήθην τὴν πίστιν μου, καὶ ἐδέχθην τὴν ἐδικήν σας θρησκείαν· ὅμως πηγαίνωντας εἰς διαφόρους τόπους ἐκατάλαβα, πῶς ἡ θρησκεία σας εἶναι κάλπικη, καὶ διὰ τοῦτο ἦλθα νὰ σᾶς τὴν δώσω ὀπίσω, ὅτι ἔσφαλα πολλὰ ὁποῦ ἄφησα τὴν πρώτην μου πίστιν ὁποῦ εἶναι τὸ καλὸν, καὶ ἄδολον μάλαγμα, καὶ ἔλαβα τὴν ἐδικήν σας ὁποῦ εἶναι τὸ μπακίρι· καὶ διὰ τοῦτο ὁμολογῶ ἔμπροσθέν σας, ὅτι εἶμαι πάλιν Χριστιανὸς, καὶ ὀνομάζομαι Γεώργιος, καὶ διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ μου εἶμαι ἕτοιμος νὰ χύσω τὸ αἷμά μου· ἤκουσες τὴν ἀπόφασίν μου, καὶ κάμε πλέον, ὅτι θέλεις εἰς ἐμέ· ἐγὼ τὸν Χριστόν μου δὲν τὸν ἀρνοῦμαι· ὁ δὲ κριτὴς ταῦτα ἀκούσας, ἐδοκίμασε μὲ διαφόρους τρόπους νὰ μεταβάλῃ τὴν γνώμην του, ἀλλ' ὁ Μάρτυς ἔστεκε στερεὸς εἰς τὴν πίστιν τοῦ Χριστοῦ· ὅθεν βλέπωντας τὸ ἀμετάθετον τῆς γνώμης του ἐπρόσταξε νὰ τὸν βάλλουν εἰς τὴν φυλακὴν, καὶ νὰ τὸν τιμωρήσουν μὲ πολλὰ, καὶ διάφορα βάσανα ἕως οὗ νὰ τὸν μεταστρέψουν ἀπὸ τὴν πίστιν τοῦ Χριστοῦ· οἱ δὲ ὑπηρέται λαβόντες τοιαύτην ἄδειαν, ὥρμησαν κατεπάνω του ὡσὰν θηρία ἀνήμερα, καὶ βάνοντές τον εἰς τὴν φυλακὴν, ὀκτὼ ἡμέρας ἀκολούθως ἐβασάνιζον τὸν εὐλογημένον μὲ διαφόρους παιδείας· ἐτάννυσαν τόσον πολλὰ τοὺς πόδας του εἰς τὸ ξύλον ὁποῦ ἐκινδύνευαν νὰ σχισθοῦν τὰ σκέλη του, ἔφεραν τάσι πυρωμένον πολλὰ καὶ τοῦ τὸ ἐφόρεσαν ὡσὰν σκούφιαν εἰς τὴν κεφαλήν, ἐτείλιξαν μὲ ἕνα σχοινίον ὁλόγυρα τὴν κεφαλήν του, καὶ τὸ ἔστριφαν μὲ ἕνα ξύλον ὡσὰν ἐργάτην, καὶ ἔσφιξαν τόσον τὴν κεφαλήν του, ὁποῦ εὐγῆκαν οἱ βολβοὶ τῶν ὀμματίων του ἔξω ἀπὸ τὸν τόπον τους, ἀλλ' ὁ γενναῖος τοῦ Χριστοῦ στρατιώτης, καὶ μισαποθαμένος ὢν ἀπὸ τὰ τοσαῦτα, καὶ τοιαῦτα μαρτύρια ὁποῦ τοῦ ἔκαναν, ἐφώναζε· εἴτι καὶ ἂν μὲ κάμετε ἐγὼ δὲν ἀρνοῦμαι πλέον τὴν πίστιν μου. Χριστιανὸς ἐγεννήθηκα; Χριστιανὸς εἶμαι, Χριστιανὸς θέλω νὰ ἀποθάνω· λοιπὸν μὴ δυνηθέντες νὰ τὸν φέρουν εἰς τὴν γνώμην τους, τὸ ἀνήγγειλαν εἰς τὸν κριτὴν, καὶ αὐτὸς ἔδωκε κατ' αὐτοῦ τὴν ἀπόφασιν τοῦ θανάτου του· καὶ πέρνοντές τον οἱ δήμιοι, τὸν ἐπῆγαν εἰς τὸν τόπον τῆς καταδίκης, καὶ ἐκεῖ τὸν ἀπεκεφάλισαν· καὶ οὕτως ἔλαβεν ὁ μακάριος τοῦ Μαρτυρίου τὸν Στέφανον παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κατὰ τὸ ᾳψιέ. ἔτος, Φεβρουαρίου ιζ'. Σαββάτῳ τῆς ά. ἑβδομάδος τῆς Ἁγίας Τεσσαρακοστῆς. 1795.

ΕΜΑΡΤΥΡΗΣΕΝ ΕΝ ΜΙΤΥΛΗΝΗ: Ο ΑΓΙΟΣ ΜΑΡΤΥΣ ΘΕΟΔΩΡΟΣ Ο ΝΕΟΣ.

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΥΖΑΝΤΙΕΩΣ.

Τῇ ιζ'. τοῦ Φευρουαρίου μηνὸς τὴν μνήμην ἑορτάζωμεν τοῦ Ἁγίου Νεομάρτυρος Θεοδώρου.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν ς'. δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος, ά. Τῶν Οὐρανίων ταγμάτων.

Νῦν ἡ σεβάσμιος μνήμη τῆς σῆς ἀθλήσεως, ἡμᾶς συναγαγοῦσα, εὐφημῆσαι προτρέπει, τὰ τρόπαια τοὺς ἄθλους καὶ τὰς λαμπράς, ἀριστείας ἐν ἄσμασιν, ἐν τῇ παρούσῃ ἑσπέρᾳ καὶ τῇ νυκτί, ἀξιάγαστε Θεόδωρε. Ἰσχύϊ θείᾳ νομίμως τὸν δρόμον ἤνυσας, τοῦ θείου Μαρτυρίου, καὶ τὴν πίστιν βεβαίαν, ἐτήρησας παμμάκαρ πρὸς τὸν Χριστὸν, καὶ τὸ στέφος Θεόδωρε, ὡς καρτερῶς ἐναθλήσας ὑπὲρ αὐτοῦ, τὸ ἀκήρατον ἀπείληφας.

Κανόνες μέθοδοι τέχναι, τῶν ἐγκωμίων σοφὲ, ἡττῶνται τῷ μεγέθει, τῶν λαμπρῶν σου ἀγώνων, Θεόδωρε στερρόφρον οὓς ἀνδρικῶς, καὶ γενναίως ὑπήνεγκας, καὶ δυσμενῶν ἀοράτων καὶ ὁρατῶν, ἐθριάμβευσας τὴν δύναμιν.

Ἡδέα Κόσμου, καὶ Κόσμον πᾶντα κατέλιπες, Θεόδωρε ἐμφρόνως, Μωϋσέως τῷ ζήλῳ, καὶ γὰρ τὴν κακουχίαν τῶν ἡδονῶν, ἠθλοφόρε προέκρινας, καὶ τὸ θανεῖν ὑπὲρ πίστεως ἢ τὸ ζῆν, ὡς ὁ Παῦλος προετίμησας.

Δόξα, Ἦχος, δ'.

Φαιδρῶς τὸν λαμπρὸν ἀριστέα τοῦ Χριστοῦ Θεόδωρον, καὶ στερρὸν ἀθλοφόρον, ἑορτάσωμεν πιστοί, ὑπὲρ γὰρ τῆς εὐσεβείας καλῶς ἀγωνισάμενος, τὸ βραβεῖον τῆς νίκης ἐπαξίως ἀπείληφε, καὶ τῷ Θεῷ νῦν μετὰ παῤῥησίας μαρτυρικῆς παριστάμενος, πρεσβεύει ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων.

Εἰς τὸν Στίχ. Ἦχος, β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὄλυται ὁ ἐχθρὸς, θέλει τῆς καρτερίας, τῆς σῆς Χριστοῦ ὁπλῖτα, Θεόδωρε γενναῖε, ὁ σοῦ κατακαυχώμενος.

Δίκαιος ὡς Φοῖνιξ ἀνθήσει.

Ῥείθροις προκαθαρθεὶς, δακρύων ὡς ὁ Πέτρος, Θεόδωρε ἐγένου, συμμέτοχος ἐκείνῳ, Χριστοῦ παθῶν μακάριε.

Πεφυτευμένος ἐν τῷ οἴκῳ.

Ὄντως δῶρον Θεῷ, ἐπάξιον προσήχθη, Θεόδωρος ὁ θεῖος, καὶ Κόσμῳ διανέμει, θεοπαρόχους χάριτας.

Δόξα, καὶ νῦν.

Ὑπέρθεε Τριὰς, Πάτερ Υἱὲ καὶ Πνεῦμα, λιταῖς τῆς Θεοτόκου, καὶ ταῖς τοῦ Θεοδώρου, θέωσον τοὺς ὑμνοῦντάς σε.

Ἀπολυτίκιον ἦχος, ά. Τῆς ἐρήμου πολίτης.

Τῷ Θεῷ ὥσπερ δῶρον φερονύμως Θεόδωρε, δι' ἀθλήσεως πόνον προσηνέθηκας πολύτιμον· καὶ ἄμωμον θῦμα καὶ δεκτὴ, παμμάκαρ ἐγένου προσφορά· ὅθεν πόθῳ συνελθόντες, τοὺς σοὺς ἀγῶνας ἐν ὕμνοις γεραίρομεν, καὶ δόξαν προσάγομεν Θεῷ, τῷ θαυμαστῶς σε ἐνισχύσαντι, κατ' ἐχθρῶν ὁρωμένων, καὶ ἀοράτων πολύαθλε.

Δόξα, καὶ νῦν. Τοῦ Γαβριὴλ φθεγξαμένου. Καὶ Ἀπόλυσις.

Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακόν. Τὸ μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ή. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια.
Νικοδίμου Μοναχοῦ ἦχος, ά.
Πανεύφημοι Μάρτυρες.

Παμμάκαρ Θεόδωρε Χριστὸν, ἐκ ψυχῆς ἠγάπησας, καὶ δι' αὐτὸν τὴν εὐπάθειαν, σαρκὸς ἐμίσησας, νεότητα κάλλος, καὶ τρυφὴν τὴν ῥέουσαν, καὶ χαίρων τὸ σὸν αἷμα ἐξέχεας· διὸ τὴν μνήμην σου, τὴν ἐτήσιον γεραίρομεν, τὸν σωτῆρα Χριστὸν μεγαλήνοντες. Δίς.

Παμμάκαρ Θεόδωρε ῥοαῖς, τῶν σεπτῶν αἱμάτων σου, Λευϊαθὰν τὸν ἀρχέκακον, τὸν σὲ δικήσαντα, ἐβύθισας ὄντως, καὶ τοῖς θείοις ἄθλοις σου, τελείᾳ ἀφανείᾳ παρέδωκας. Χριστὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δίς.

Παμμάκαρ Θεόδωρε ἡμῖν, ὡς ἀστὴρ ἐξέλαμψας, νεοφανής, τὴν σκοτόμαιναν τῆς πλάνης ἅπασαν, τὴν καταχυθεῖσαν, εἰς τὰ Κόσμου πέρατα, ἀκτῖσι τοῦ λαμπροῦ Μαρτυρίου σου, λύων πανεύφημε, καὶ φωτίζων τοὺς τιμῶντάς σε, καὶ θερμαίνων πρὸς πόθον τοῦ κτίσαντος.

Δίς.

Μωσέως τῷ ζήλῳ ἀθλητά, ἔνδοξε Θεόδωρε, τρυφὴν ἐάσας τὴν πρόσκαιρον, καὶ τὴν ἀπόλαυσιν, τὴν ἐν βασιλείοις, καὶ σπεύσας ἀπείληφας, τὴν ἐν τοῖς οὐρανοῖς αἰωνίζουσαν, πόνοις ἀθλήσεως, τὸ ὑπόδειγμα μιμούμενος, Ἰακώβου τοῦ Πέρσου μακάριε.

Παμμάκαρ Θεόδωρε Θεὸν, ἵλεων ἀπέργασαι, ἡμῖν ταῖς θείαις πρεσβείαις σου τοῖς ἑορτάζουσι, τὴν πανιερόν σου, καὶ ἁγίαν ἄθλησιν, καὶ τὴν πρὸς τὸν Χριστὸν σὴν ἀνάλυσιν, δι' ἧς ἀπείληφας, τὰ βραβεῖα τῶν ἀγώνων σου, σὺν ἀγγέλοις ἀεὶ ἀγαλλόμενος.

Δόξα, ἦχος, δ'.

Κροτήσωμεν σήμερον ἐπὶ τῇ μνήμῃ Θεοδώρου, τοῦ νέου Μάρτυρος· ὁμωνυμήσας γὰρ οὗτος Θεοδώρῳ τῷ πάλαι Μεγαλομάρτυρι, τῇ μιμήσει τοῦ Μαρτυρίου, καὶ συνώνυμος ἀληθῶς ἐκείνῳ ἐγένετο· ὅθεν ὡς ἐπώνυμος τῶν τοῦ Θεοῦ δωρεῶν τοῖς αὐτὸν εὐφημοῦσι, δῶρα πλουτοποιὰ τῶν θείων χαρίτων παρέχει, καὶ πρεσβεύει ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ διὰ σὲ Θεοπάτωρ. Εἴσοδος. Τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας. Καὶ τὰ ἀναγνώσματα τοῦ Ἁγίου Γεωργίου.

Εἰς τὴν λιτὴν ἦχος, ά.

Εὐφραίνου ἐν Κυρίῳ Μάρτυς Θεόδωρε, ὁ τὸν Χριστὸν δοξάσας ἐν τοῖς τιμίοις σου μέλεσι. Εἰ γὰρ καὶ πρὸς καιρὸν αὐτοῦ ἐχωρίσθης διὰ τῆς ἀρνήσεως, ἀλλὰ τούτῳ πάλιν ἡνώθης διὰ τῆς πίστεως, καὶ τῆς ἐπὶ τῇ πίστει πεπαῤῥησιασμένης ὁμολογίας· προσθήκη δὲ τῆς ἑνώσεως, ἡ τῶν αὐτοῦ παθῶν καὶ τοῦ θανάτου ὁμοιότης, καὶ κοινωνία σοι γέγονε· δι' ἧς τούτῳ, ὡς κεφαλῇ μέλος ἐπὶ πλεῖστον συνήφθης, καὶ συνημμένος ἔσῃ εἰς αἰῶνα τὸν ἅπαντα, δόξης τῆς αὐτῷ πρεπούσης συναπολαύων· ὅθεν, ὡς παῤῥησίαν ἔχων πρὸς αὐτὸν, πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

Δόξα, ἦχος, πλ. ά.

Γενναῖε Μάρτυς τοῦ Χριστοῦ Θεόδωρε, ἐπαξίως ἐφημοῦμεν τὴν μνήμην σου· σὲ γὰρ οὐ βίαι τυραννικαί, οὐ θωπεῖαι ἀπατηλαί, οὐ μαστίγων ἐπιφοραί, οὐ στρέβλωσις κεφαλῆς, οὐκ ὀφθαλμῶν ἔξωσις, οὐκ ὀδόντων ἐκρίζωσις, οὔτε ὁ δι' ἀγχόνης θάνατος, τῆς πρὸς Χριστὸν ἀγάπης χωρίσαι ἴσχυσαν· καὶ νῦν ἐν οὐρανοῖς μετὰ Ἰακώβου, καὶ Μείρακος, καὶ τῶν λοιπῶν μαρτύρων συναγαλλόμενος, μὴ παύσῃ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Μακαρίζομέν σε. Εἰς τὸν στίχον, ἦχος πλ. ά. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ἐν ὑστέροις καιροῖς, τὴν τῶν ἐξ Ἄγαρ ἀπελέγξας δυσσέβειαν, καὶ πίστιν Χριστοῦ παμμάκαρ, ἀνακηρύξας ψυχῆς, ἐν ἀνδρικωτάτῳ παραστήματι· ὁ νοῦν τὸν ἀρχέκακον, καὶ τὰ τούτου στρατεύματα, λύπης πληρώσας· τῶν ἀγγέλων δὲ τάγματα, πλήσας ἅπαντα, θυμηδίας καὶ τέρψεως· οἷς καὶ συναυλιζόμενος, γενναῖε Θεόδωρε, αἴτησε πᾶσι τοῖς πόθῳ, ἐπιτελοῦσι τὴν μνήμην σου, ἡμῖν δωρηθῆναι, ἱλασμὸν ἁμαρτημάτων καὶ μέγα ἔλεος.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Χαίροις τῆς καθ' ἡμᾶς γενεᾶς, στήριγμα μέγα ἀθλοφόρε Θεόδωρε· ὁ πάντων ἐξομωσάντων, ὑπογραμμὸς ἀληθής· ὁ πολλὰς βασάνους διὰ Κύριον, ὀδόντων ἐκρίζωσιν, καὶ ὀμμάτων τὴν ἔξωσιν, καὶ τοῦ προσώπου, ὑπομείνας τὴν στρέβλωσιν, καὶ τὸν θάνατον, χαρμοσύνως δεξάμενος· δόξα καὶ ἐγκαλώπισμα, πιστῶν ὁ γενόμενος, τῶν δὲ ἀπίστων αἰσχύνη, καὶ ἀτιμία αἰώνιος. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Ἤδη πρὸς αὐτὰ, σοφὲ τὰ οὐράνια σὺ κατεσκήνωσας, δόξης δὲ λαβόμενος, τῆς ἀϊδίου καὶ ταῖς μεθέξεσι, ταῖς ἱεραῖς θεούμενος, μέμνησο πάντων ἡμῶν, τῶν τιμώντων πίστει τὴν πανίερον, καὶ σεπτὴν τελετήν σου Θεόδωρε. Θεοτοκίον.

Φώτισον Ἁγνὴ, τοὺς πόθῳ ὑμνοῦντάς σε καὶ μεγαλύνοντας· λῦσον τῶν παθῶν ἡμῶν τὸ σκότος κόρη, παῦσον τὸν κλύδωνα· τοῦ πονηροῦ τὰ σκάνδαλα ἐκ μέσου ποίησον, τοὺς τῆς Ἄγαρ γόνους καθυπόταξον, βασιλεῖ εὐσεβεῖ ταῖς πρεσβείαις σου.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Περιχαρῶς τὴν μνήμην σου, ἑορτάζομεν ἅπαντες, καὶ λείψανά σου τὰ θεῖα, Θεόδωρε προσκυνοῦμεν, καὶ τὴν σεπτὴν εἰκόνα σου, σχετικῶς ἀσπαζόμεθα· σὺ οὖν ἡμᾶς περίσωζε, ἀπὸ παντίας ἀνάγκης, καὶ βλάβης τοῦ ἀλλοτρίου. Θεοτοκίον.

Θεὸν ὃν ἐσωμάτωσεν, ἡ Θεοτόκος Δέσποινα, βαστάζουσα ἐν ἀγκάλαις, πρεσβευτικῶς ἀνεβόα· ἐπεὶ σπλάγχνον γλυκύτατον, νηδύσασα Μητέρα σου· γενέσθαι μὲ τὴν δούλην σου, τοὺς εἰς ἐμὲ προσφυγόντας, τῆς σῆς ἀξίωσον δόξης.

Εἰς τοὺς αἴνους· ἦχος, ά.

Τῶν οὐρανίων Ταγμάτων.

Τὸν τοῦ Χριστοῦ στρατιώτην, καὶ νεομάρτυρα, Θεόδωρον συμφώνως, εὐφημήσωμεν ὕμνοις, αὐτῷ ἀναβοῶντες ἀπὸ ψυχῆς· ταῖς εὐχαῖς σου περίσωζε, ἡμᾶς τοὺς σὲ ἀγαπῶντας ἐκ πειρασμῶν, καὶ παντοίων περιστάσεων. Δίς.

Τὸν Ἰησοῦν ὃν ἐπόθεις, ἔχων Θεόδωρε, καὶ θεωρίᾳ τούτου, ἐντρυφῶν ἀνενδότως, γρέψον σου τὸ ὄμμα καὶ πρὸς ἡμᾶς, τοὺς ποθοῦντάς σε Ἅγιε· καὶ τὸν Χριστὸν ἐκδυσώπει ὑπὲρ ἡμῶν, ὅπως δόξης ἐπιτύχωμεν.

Τῆς ὑπερθέου Τριάδος καταλαμπόμενος, ταῖς νοηταῖς ἀκτῖσιν, ὅλος φῶς χρηματίζεις, ὅλος ἐξαστράπτων ὅλος Θεός. κατὰ χάριν Θεόδωρε· φῶς καθορῶν τὸν Πατέρα, φῶς τὸν Υἱόν, φῶς τὸ Πνεῦμα τὸ Πανάγιον.

Δόξα, ἦχος, πλ, δ'.

Σήμερον ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τὰς πρὸς τὸν Ἰωσὴφ εὐλογίας ἀναλαμβάνουσα τοῦ Πατριάρχου Ἰακώβ, ὡς καλὴ καὶ φιλόπαις μήτηρ Θεόδωρε βοᾷ σοι· υἱός μου ηὐξημένος σὺ εἶ, υἱός μου νεώτατος, πρός με ἀνάστρεψον, ὁ τῶν νεοφανῶν Μαρτύρων μου ἔσχατος· καὶ πρέσβευε ἀπαύστως τῷ σῷ κατὰ χάριν Πατρί, καὶ ἐμῷ νυμφίῳ Χριστοῦ τῷ Θεῷ, ὅπως με τῆς τυραννικῆς αἰχμαλωσίας, καὶ πάσης αἱρέσεως λυτρωσάμενος, σώσῃ εἰς τὴν Βασιλείαν αὐτοῦ τὴν Οὐράνιον.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη, Καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά.

Εἰς τοὺς Μακαρισμούς, τὴν γ'. Ὠδὴν Ἑκ τοῦ ά. Κανόνος, καὶ τὴν ς'. ἐκ τοῦ β'.

Μετὰ τὸ Τρισάγιον τὸν Ἀπόστολον, καὶ τὸ Εὐαγγέλιον τοῦ Ἁγίου, Δημητρίου.

Κοινωνικὸν, Εἰς μνημόσυνον αἰώνιον Μεγαλυνάρια.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, ἐν ᾠδαῖς καὶ ὕμνοις, μαργαρίτην τοῦ Ἰησοῦ, τῶν Νεομαρτύρων, Χριστοῦ τὸ λαμπρὸν ἄστρον, Θεόδωρον τὸν νέον, πιστῶν τὸ καύχημα.

Χαίροις ὁ ἀήττητος ἀθλητὴς, καὶ κήρυξ γενναῖος, τῆς θεότητος Ἰησοῦ· χαίροις Θεοῦ δῶρον, ἡμῖν δεδωρημένον, ἐν χρόνοις τοῖς ὑστέροις, Μάρτυς Θεόδωρε.

Ἤνθησας ὡς ῥόδον κοκκοβαφὲς, Θεόδωρε Μάρτυς, ἐν τοῖς χρόνοις τοῖς καθ' ἡμᾶς, καὶ εὐωδιάζεις ὀδμαῖς τῶν σῶν χαρίτων, ἡμῶν τῶν σὲ ποθούντων, ψυχὰς καὶ σώματα.

Φύλαττε σοὺς δούλους διὰ παντὸς, Θεόδωρε Μάρτυς, τοὺς τιμῶντάς σε εὐλαβῶς, καὶ πίστει καὶ πόθῳ, τελοῦντάς σου τὴν μνήμην, ἀπὸ παντείας βλάβης, καὶ περιστάσεως.

Κατὰ τὸ ᾳψιέ. ἔτος, Ὀκτωβρίου. 1795.

ΕΜΑΡΤΥΡΗΣΕΝ Η ΑΓΙΑ ΧΡΥΣΗ.

Αὕτη ἡ παρθενομάρτυς, καὶ ἀμίαντος νύμφη τοῦ ἐπουρανίου βασιλέως Χριστοῦ τοῦ Θεοῦ Σλάτω, ὅπερ εἰς τὴν καθ' ἡμᾶς κοινὴν διάλεκτον ἑρμηνεύεται χρυσῆ, ἦτον ἀπὸ μίαν ἐπαρχίαν τῆς Βουλγαρίας ἐπονομαζομένην Μογλενῶν, ἐκ τινος χωρίου καλουμένου Σλάτενα· πτωχὴ μὲν κατὰ τὸ γένος, ὡσὰν ὁποῦ ἦτον θηγάτηρ ἑνὸς Χριστιανοῦ πένητος, καὶ ἀσήμου, ἔχοντας σὺν αὐτῇ θυγατέρας τέσσαρας· πλούσια δὲ κατὰ τὰ προαιρετικὰ καὶ φυσικὰ πλεονεκτήματα, προαιρετικὰ μὲν, κατὰ τὴν εἰς Θεὸν θερμὴν πίστιν, καὶ τὴν παρθενίαν, καὶ σωφροσύνην· φυσικὰ δὲ, κατὰ τὸ κάλλος τοῦ προσώπου καὶ ὡραιότητα· διὰ τὴν ὁποίαν καὶ ἠξιώθη ἡ μακαρία νὰ τελειώσῃ μὲ ἕνα ἔνδοξον, καὶ γενναῖον Μαρτύριον.

Διότι ἕνας τῶν ἐκεῖσε Τούρκων, βλέπων αὐτὴν τοσοῦτον ὡραίαν καὶ πάγκαλλον, ἐτρώθη εἰς τὴν καρδίαν ἀπὸ σατανικὸν ἔρωτα, καὶ παρετήρει νὰ εὕρῃ καιρὸν ἐπιτήδειον, διὰ νὰ τελέσῃ τὸν κακὸν σκοπὸν ὁποῦ ἐμελέτα· καὶ δὴ ἐν μιᾷ τῶν ἡμερῶν, ὅταν ἡ Ἁγία εὐγῆκεν ἔξω μὲ ἄλλας γυναῖκας, διὰ νὰ μαζώξῃ ξύλα, μαθὼν τοῦτο ὁ ἀγαρηνος ἐκεῖνος, καὶ τῆς παρθενίας τῆς Ἁγίας ὁ ἐπίβουλος, πέρνει μὲ λόγου του καὶ ἄλλους τούρκους, καὶ πηγαίνει ἐκεῖ καὶ τὴν πιάνει, καὶ πιάνωντάς την, τὴν φέρει εἰς τὸν οἰκόν του· καὶ πρῶτον μὲν, ἀρχίζει νὰ κολακεύῃ τὴν Ἁγίαν μὲ πολλὰς ὑποσχέσεις, καὶ ταξίματα, πάσχωντας νὰ διαστρέψῃ τὴν γνώμην της, καὶ νὰ τὴν φέρῃ εἰς τὴν θρησκείαν του, λέγωντάς της, ὅτι ἂν τουρκίσῃ, αὐτὸς ἔχει νὰ τὴν πάρῃ διὰ γυναῖκα του, ἔπειτα δὲ καὶ τὴν φοβερίζει, ὅτι ἂν δὲν καταπεισθῇ εἰς τὰ λόγιά του, ἔχει νὰ τῆς δώσῃ μεγάλας παιδείας· ἡ δὲ τῳόντι Χρυσῆ καὶ πρᾶγμα καὶ ὄνομα, ταῦτα ἔξαφνα καὶ παθοῦσα, καὶ ἀκούσασα, τελείως δὲν ἐδειλίασεν, ἀλλὰ νοερῶς ἐπικαλεσαμένη τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πρὸς βοήθειάν της, μὲ πολλὴν γενναιότητα καὶ παῤῥησίαν ἀπεκρίθη· ἐγὼ τὸν Χριστόν μου πιστεύω, καὶ προσκυνῶ, καὶ αὐτὸν μόνον γνωρίζω διὰ νυμφίον μου· τὸν ὁποῖον δὲν θέλω ἀρνηθῶ πώποτε, κἂν μυρία μοῦ κάμετε βάσανα, κἂν καὶ εἰς λεπτὰ κομμάτια τὸ σῶμά μου κατακόψετε· ἐκεῖνοι δὲ ἀκούσαντες ταῦτα, καὶ στοχαζόμενοι, ὅτι αὐτοὶ δὲν δύνανται μόνοι νὰ τὴν καταπείσουν, ἐμετεχειρίσθησαν εἰς τοῦτο καὶ ἄλλα μέσα· ὅθεν ἠξεύροντες, ὅτι αἱ γυναῖκες εἶναι φυσικὰ πλέον ἐπιτηδειότεραι ἀπὸ τοὺς ἄνδρας εἰς τὸ νὰ ἀπατῶσι, καὶ μάλιστα τὰς ὁμοίας αὐτῶν γυναῖκας, ἃ. μὲν παρέδωκαν τὴν Ἁγίαν εἰς τὰς γυναῖκάς των, παραγγείλαντες εἰς αὐτὰς νὰ κάμουν κάθε τρόπον, καὶ μηχανὴν διὰ νὰ τὴν καταπείσουν· αἱ ὁποῖαι παραλαβοῦσαι τὴν Μάρτυρα, τί δὲν ἔκαμαν; καὶ τί δὲν ἐμηχανεύθησαν; ἢ ποίας μαντίας ἀφῆκαν ὁποῦ νὰ μὴν ἐνεργήσουν κατὰ τῆς παρθένου; ἐξάμηνον σχεδὸν ὁλόκληρον ἐπαρακίνουν τὴν εὐλογημένην εἰς τὴν θρησκείαν τους, ἀλλ' εἰς μάταν ἐκοπίασαν, ἐπεδὴ καὶ ἡ μακαρία Χρυσῆ ἦτον στερεωμένη εἰς τὴν ἀσάλευτον πέτραν τῆς πίστεως τοῦ Χριστοῦ· ἔπειτα κράζοντες τοὺς ἰδίους γονεῖς, καὶ τὰς ἀδελφὰς τῆς Μάρτυρος, μὲ φοβερισμοὺς μεγάλους τοὺς ἐπρόσταξαν, ἢ νὰ παρακινήσουν τὴν θυγατέρα των νὰ τουρκίσῃ, ἢ ἔχουν, καὶ αὐτὴν νὰ θανατώσουν, καὶ τούτους νὰ παιδεύσουν, καὶ νὰ ζημιώσουν μεγάλως.

Ἐλθόντες λοιπὸν οἱ Γονεῖς, καὶ αἱ ἀδελφαὶ, πλησίον τῆς Μάρτυρος (ὁ γὰρ φόβος ἠνάγκαζεν αὐτοὺς τοῦτο νὰ ποιήσουν καὶ μὴ θέλοντες) εἶπον, καὶ ἔκαμον ὅλα ἐκεῖνα, ὅσα δύνανται νὰ μαλακώσουν, καὶ τὴν πλέον σκληρὰν καὶ ἀδαμαντίνην ψυχὴν, κλαίοντες δακρυῤῥοοῦντες, καὶ θύγατερ, λέγοντες, θύγατερ γλυκυτάτη, σπλαγχνίσου τὸν ἑαυτόν σου, καὶ ἡμᾶς τοὺς γονεῖς σου, καὶ ἀδελφάς σου, ὁποῦ κινδυνεύομεν ἅπαντες νὰ ἀφανισθῶμεν, διὰ τὴν αἰτίαν τὴν ἐδικήν σου· καὶ ἀρνήσου τὸν Χριστὸν κατὰ τὸ φαινόμενον, διὰ νὰ γλυτώσῃς καὶ ἐσὺ, καὶ ἡμεῖς· καὶ ὁ Χριστός εἶναι εὔσπλαγχνος, καὶ συγχωρεῖ σοι τὴν ἁμαρτίαν ταύτην διὰ τὴν ἀνάγκην καὶ βίαν. Καὶ ἐδῷ ἂς στοχασθῇ ὁ καθ' ἕνας, πόσον σφοδρῶς, καὶ μεγάλος ἐτάθη ἐτοῦτος ὁ πόλεμος, τὸν ὁποῖον ἐμηχανεύθη ὁ διάβολος, νὰ κινήσῃ κατὰ τῆς Μάρτυρος· καὶ εἰς ποίους ἀσθενεῖς λογισμοὺς, καὶ συμπάθειαν ἠδύναντο νὰ φέρουν τὴν ἁπαλὴν παρθένον, δάκρυα μητρὸς, καὶ πατρὸς, καὶ ὁμηλίκων ἀδελφῶν ποταμηδὸν ἐνώπιόν της χεόμενα· ἀλλὰ θαρσεῖτε ἀγαπητοί, ἐνίκησεν ἡ δύναμις τοῦ Χριστοῦ καὶ τοῦτον τὸν πόλεμον, καὶ τὴν μεθοδείαν ποῦ διαβόλου· διὰ τί ἡ ἀῤῥενόφρων, καὶ μεγαλόψυχος Χρυσῆ, ἀναμένη οὖσα ἀπὸ τὸ ἐγκάρδιον πῦρ τῆς πρὸς Χριστὸν ἀγάπης, δὲν ἐκάφθη τελείως πρὸς συμπάθειαν, καθὼς τὸ ἀπήτει ἡ φύσις, ἀπὸ τοὺς λόγους καὶ δάκρυα τῶν γονέων, καὶ ἀδελφῶν της, ἀλλὰ ὡσὰν νὰ ἔγινεν ὑπεράνω σαρκὸς καὶ αἵματος, καὶ ἔξω ἀπὸ τοὺς ὅρους καὶ νόμους τῆς φύσεως, στραφεῖσα λέγει πρὸς τοὺς γονεῖς, καὶ ἀδελφάς της ταῦτα τὰ ἀξιοθαύμαστα καὶ σοφώτατα λόγια. Ἐσεῖς ὁποῦ μὲ παρακινεῖτε νὰ ἀρνηθῶ Χριστὸν τὸν ἀληθινὸν Θεὸν, δὲν εἴσθε πλέον γονεῖς μου, καὶ ἀδελφαί μου· οὔτε ἐγὼ θέλω νὰ σᾶς ἠξεύρω ὡς τοιούτους εἰς τὸ ἑξῆς· ἀλλ' ἀντὶ διὰ ἐσᾶς, Πατέρα μὲν ἔχω, τὸν Κύριόν μου Ἰησοῦν Χριστόν· μητέρα δὲ, τὴν κυρίαν μου Θεοτόκον· ἀδελφοὺς δὲ, καὶ ἀδελφὰς ἔχω τοὺς Ἁγίους καὶ τὰς Ἁγίας, καὶ μὲ τοῦτην τὴν ἀπόκρισιν τοὺς ἀπέβαλεν.

Εὖγε τῆς μεγαλοψύχου ἀνδρείας! εὖγε

τῆς πρὸς τὸν Θεὸν ἀληθινῆς ἀγάπης! εὖγε τῆς σοφῆς διανοίας, τῆς οὔσης οὐρανίων ἐπαίνων ἀξίας! Κατὰ ἀλήθειαν ἀδελφοὶ ἐπληρώθη εἰς τὴν Ἁγίαν ταύτην ἐκεῖνο ὁποῦ εἶπεν ὁ θεῖος Δαβίδ· «ὁ πατήρ μου καὶ ἡ μήτηρ » μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσε» λάβετό με. (Ψαλ. ις'. 16). Καὶ ἐκεῖνο » ὁποῦ εἶπεν ὁ Κύριος μὴ νομήσητε ὅτι ἦλ» θον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον » βαλεῖν εἰρήνην ἀλλὰ μάχαιραν· ἦλθον γὰρ » διχάσαι ἄνθρωπον κατὰ τοῦ Πατρὸς αὐ» τοῦ, καὶ θυγατέρα κατὰ τῆς Μητρὸς αὐ» τῆς. Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου, οἱ οἰκεια» κοὶ αὐτοῦ» (Ματ. 1. 34).

Βλέποντες δὲ οἱ ἀλλόπιστοι, καὶ μάλιστα ὁ κακὸς ἐκεῖνος ἐραστὴς τῆς παρθένου, ὅτι δὲν ἐδυνήθησαν νὰ κατορθώσουν τὸ οὐδὲν, καὶ νὰ μεταστρέψουν τὴν Ἁγίαν ἀπὸ τὴν πίστιν τοῦ Χριστοῦ, οὐδὲ μὲ τὰ μέσα ἐκεῖνα, καὶ ὄργανα ὁποῦ ἐστοχάσθηκαν, ἄφησαν πλέον τὰς κολακείας, καὶ τὰ λόγια εἰς ἕνα μέρος, καὶ ἄρχισαν νὰ παιδεύουν τὴν Μάρτυρα· καὶ πρῶτον μὲν, εἰς τρεῖς ὁλοκλήρους μῆνας τὴν ἐρράβδιζαν κάθε ἡμέραν, ἔπειτα ἐκδάραντες αὐτὴν, καὶ πολλὰ λωρία εὐγάνοντες ἀπὸ τὸ δέρματης, τὰ ἀφῆκαν κρεμασμένα ἔμπροσθέν της, τάχα διὰ νὰ δειλιάσῃ βλέπουσα ταῦτα· τὸ δὲ αἷμα ποταμηδὸν ἔτρεχεν ἀπὸ τὸ παρθενικὸν σῶμα τῆς Μάρτυρος, καὶ τὴν παρακειμένην γῆν ἐκοκκίνιζεν· εἶτα σούβλαν πυρώσαντες, διαπερῶσι ταύτην, πέρα καὶ πέρα ἀπὸ τὰ αὐτία τῆς Μάρτυρος, ὥστε ὁποῦ ὁ καπνὸς ἐξήρχετο ἀπὸ τὴν μήτην, καὶ τὸ στόμα της.

Ἡ δὲ τοῦ Χριστοῦ Μάρτυς τοιαῦτα, καὶ τοσαῦτα πάνδεινα βάσανα πάσχουσα, τὰ ὁποῖα δύνανται νὰ κάμψουν καὶ αὐτοὺς τοὺς πλέον μεγαλοψύχους ἄνδρας, ὑπέμεινε μὲ πολλὴν γενναιότητα, δυναμουμένη ἀπὸ τὴν δύναμιν τοῦ σταυροῦ, καὶ τὸν τοῦ Χριστοῦ ἐγκάρδιον ἔρωτα· διότι, ὡς λέγει ὁ μεταφραστὴς Συμεὼν «ψυχὴ δεσμοῖς ἁλοῦσα τοῦ πρὸς Θεὸν ἔρωτος, οὐδὲν ἡγεῖται τὸ πάσχειν, ἀλλὰ τοῖς ἀλγεινοῖς ἐντρυφᾷ, καὶ θάλλει κακοπαθείᾳ». Ἀκούσασα δὲ ἡ Ἁγία ὅτι ἐκεῖ κοντὰ εὑρίσκετο ὁ προηγούμενος τῆς ἐν τῷ Ἀγίῳ ὄρει σεβασμίας Μονῆς τοῦ Σταυρονικήτα παπᾶ Τιμόθεος, τὸν ὁποῖον εἶχε πνευματικόν της πατέρα (ὅστις ἐδιηγήθη καὶ εἰς ἡμᾶς τὸ παρὸν μαρτύριον, ἄνδρας σεμνὸς καὶ ἀξιόπιστος ὤν) τοῦ ἐμύνησε διά τινος Χριστιανοῦ, ὅτι νὰ δέεται τοῦ Θεοῦ, ἵνα ἀξιώσῃ αὐτὴν, νὰ τελειώσῃ θεαρέστως τὸν δρόμον τοῦ Μαρτυρίου της.

Τέλος πάντων, οἱ ὠμοὶ καὶ σκληροκάρδιοι ἐκεῖνοι, ἢ μᾶλλον εἰπεῖν, καὶ αὐτῶν τῶν θηρίων ὠμότεροι, μὴ χορτάσαντες εἰς τόσα καὶ τόσα βασανιστήρια ὁποῦ ἔκαμναν τῆς Ἁγίας, ἀλλὰ θαυμάζοντες, πῶς ἔμεινεν ἀκόμη ζωντανὴ, καὶ δὲν ἐτελεύτα· ὢ καὶ τί δὲν κάμνει ἡ κακία· ἐθυμώθησαν τόσον καὶ ἐπεισμάτωσαν ὥστε ὁποῦ μὴ ὑποφέροντες νὰ νικηθοῦν αὐτοὶ ὅλοι ἀπὸ ἕνα κοράσιον, ἐκρέμασαν τὴν τοῦ Χριστοῦ ἀμνάδα, εἰς μίαν ἀγριαπιδίαν, καὶ δραμόντες ὅλοι μὲ τὰς μαχαίρας των, κατέκοψαν μεληδὸν ὅλον τὸ ἱερὸν σῶμα τῆς παρθένου· καὶ οὕτως ἡ καλὴ Χυρσὴ, δοκιμασθεῖσα καὶ λαμπρυνθεῖσα ὡς χρυσὸς ἐν τῷ χωνευτηρίῳ τοσούτων βασάνων, παρέδωκε τὴν ἁγίαν αὐτῆς ψυχὴν εἰς χεῖρας τοῦ ἀθανάτου νυμφίου της, διπλοῦν λαβοῦσα τὸν Στέφανον, τῆς παρθενίας, καὶ τῆς ἀθλήσεως· καὶ νῦν συγχορεύει καὶ συναγάλλεται εἰς τοὺς οὐρανίους θαλάμους, μὲ τὰ τῶν φρονίμων παρθένων καὶ ἀθλοφόρων, παρισταμένη ἐκ δεξιῶν τοῦ νυμφίου της Χριστοῦ, καὶ τούτῳ εἰς αἰῶνας αἰώνων συμβασιλεύουσα· τὰ δὲ ἀθλητικώτατα, καὶ παρθενικὰ τῆς Μάρτυρος λείψανα, ἐπῆραν κρυφίως τινες Χριστιανοί, καὶ ἐνταφίασαν αὐτὰ ἐντίμως, καὶ εὐλαβῶς· ἧς ταῖς πρεσβείαις ἀξιωθείημεν καὶ ἡμεῖς τῆς βασιλείας τῶν οὐρανῶν. Ἀμήν.

Μεγαλυνάρια τῆς Ἁγίας.

Τὴν ἀμνάδα πάντες τὴν τοῦ Χριστοῦ· καὶ τῆς παρθενίας, τὸν ἀσύλητον θησαυρόν

τὴν νύμφην Κυρίου, ὅλην κεχρυσωμένην, Χρυσῆν τὴν ἀθλοφόρον, ὕμνοις τιμήσωμεν.

Χαίροις ἡ Κυρίου περιστερὰ, ἡ κεχρυσωμένα τὰ μετάφρενα ψαλμικῶς, καὶ ἠργυρωμένας τὰς πτέρυγας πλουτοῦσα, Χρυσῆ μου νεομάρτυς, σκέπε τοὺς δούλους σου.

Ὥσπερ καλλικέλαδος ἀηδὼν Χρυσῆ νεομάρτυς, ἐπὶ δένδρον τὸ τοῦ Χριστοῦ, ὄνομα ἐφώνεις, λιγυρῶς καὶ ἐκεῖθεν, εἰς καλιὰν ἀνέπτης τὴν ἐπουράνιον.

Κατὰ τὸ ᾳψις'. ἔτος Ἀπριλίου κδ'. 1796.

ΕΜΑΤΥΡΗΣΕΝ ΕΝ ΜΑΓΝΗΣΙΑ; Ο ΑΓΙΟΣ ΓΕΩΡΓΙΟΣ.

Οὗτος ὁ γενναῖος, καὶ ὁλοϋστερινὸς Μάρτυς τοῦ Χριστοῦ, ὁ ὁποῖος ἐγένετο πάντων τῶν ἐν τῇ παρούσῃ βίβλῳ περιεχομένων Νεομαρτύρων ἡ σφραγὶς, καὶ τὸ συμπέρασμα, ἐκατοίκει μετὰ τοῦ πατρὸς αὐτοῦ χατζῆ Κανέλου ὀνομαζομένου εἰς τὴν Κωμόπολιν, τὴν τουρκιστὶ καλουμένην Γιαγιᾶ Κιοῖ, εἰς τὴν ὁποίαν ἔχει τὴν κατοικίαν, καὶ καθέδραν του ὁ περίφημος Ἁγᾶς Καρὰ Ὀσουμάνογλους· ἐπειδὴ δὲ ὁ πατὴρ τοῦ Ἁγίου ἦτον ἐπιστάτης καὶ διοικητὴς ἐπάνω εἰς τὰ ποίμνια, καὶ προάστεια ἤγουν τζεφτιλίκια τοῦ αὐτοῦ ἀγᾶ, ἀκολούθως εἶχε καὶ μεγάλην παῤῥησίαν, καὶ προτίμησιν κοντὰ εἰς τοὺς ἐκείσε Τούρκους. Εὑρισκόμενος λοιπὸν ὁ Ἅγιος ὑποκάτω εἰς τὴν ὑπακοὴν τοῦ πατρός του εὐπειθέστατος κατὰ πᾶντα, μὲ τὴν ἄδειαν τούτου ἀῤῥαβονιάσθη μετὰ γυναικὸς σεμνῆς, καὶ τιμίας· ὅταν δὲ ἔφθασεν εἰς ἡλικίαν χρόνων εἴκοσι δύω, ἡτοίμασε τὰ πρὸς τὸν γάμον ἐπιτήδεια, καὶ δὴ ἐμελέτα νὰ στεφανωθῇ κατὰ τὴν νέαν Κυριακὴν τοῦ Θωμᾶ.

Ἐπειδὴ δὲ εἶχεν ἀνάγκην ὁ νέος νὰ ὑπάγῃ εἰς τὴν πόλιν τῆς Μαγνησίας, λαβὼν τὴν ἄδειαν ἀπὸ τὸν πατέρα του, καὶ δὴ καὶ ἀπὸ τὸν προῤῥηθέντα ἀγᾶν αὐτῶν, εἰς τοῦ ὁποίου τὴν δούλευσιν εὑρίσκοντο, ἐπῆγεν ἐκεῖ, καὶ ὡσὰν ὁποῦ ἦτον μεγάλου ἐξουσιαστοῦ ἄνθρωπος, ἐξεθάῤῥευσε, καὶ ἐφόρει, εἰς μὲν τοὺς πόδας, ὑποδήματα τούρκικα, εἰς δὲ τὴν κεφαλὴν κόκκινον φέσι, τὸ ὁποῖον κάθε ἄνθρωπος ὁ τυχὼν δὲν δύναται νὰ φορέσῃ εἰς τὰ μέρη τῆς Ἀνατολῆς, ἀλλὰ μόνον ἄσπρον· βλέποντες λοιπὸν οἱ ὑπηρέται τοῦ Μουσελίμη τῆς Μαγνησίας οὕτω φορεμένον τὸν νέον, μ' ὅλον ὁποῦ ἐγνώριζαν τίνος μεγάλου ἀγᾶ ἦτον δουλευτὴς καὶ αὐτὸς, καὶ ὁ πατήρ του, χωρὶς ὅμως νὰ συσταλθοῦν, τὸν πιάνουν παρευθὺς καὶ τὸν πηγαίνουν εἰς τὸν Μουσελίμην. Ὁ Μουσελίμης καμονόμενος ὅτι δὲν τὸν γνωρίζει, τὸν ἐρωτᾶ, καὶ τοῦ λέγει· αὐτὸ τὸ εἶδος τῆς φορεσίας ὁποῦ φορεῖς, εἶναι τούρκικον· καὶ δὲν δύναται νὰ τὸ φορέσῃ ἄλλης πίστεως ἄνθρωπος· ὅθεν εἰπέ μου, μήπως καὶ ἐγνώρισες ὅτι εἶναι καλὴ ἡ πίστις μας, καὶ διὰ τοῦτο ἦλθες μὲ τοιοῦτον σχῆμα διὰ νὰ γένῃς Τοῦρκος; ὁ δὲ νέος ὡς φρόνιμος, καὶ συνετὸς ἐννοήσας τὴν κακουργίαν τοῦ ἡγεμόνος, χωρὶς νὰ δειλιάσῃ ὁλότελα, ἀποκρίνεται μὲ γενναιότητα ψυχῆς καὶ τοῦ λέγει. Ὁ Θεὸς νὰ μὲ φυλάξῃ, καὶ μή μοι γένοιτο ποτὲ νὰ ἀρνηθῶ τὴν πίστιν μου· ἐγὼ τοῦτα τὰ ῥοῦχα τὰ φορῶ μὲ τὴν ἐδικήν σας ἄδειαν, ὡσὰν ὁποῦ ὁ πατήρ μου εἶναι ὑπηρέτης καὶ δουλευτὴς ἐδικός σας· (ἦτον γὰρ καὶ εἰς τὸν μουσελίμην γνωστὸς ὁ πατήρ αὐτοῦ).

Ταῦτα ἀκούσας ὁ κριτὴς, προστάζει τοὺς ὑπηρέτας, καὶ δέρνουν τὸν Μάρτυρα, ὄχι ὅμως μὲ ξυλίας πολλὰς καὶ δυνατὰς, ἀλλὰ μὲ ὀλίγας, καὶ ἐλαφρὰς, ἴσως διὰ νὰ δείξῃ μὲ τοῦτο ὁ πολυμήχανος, ὅτι λυπᾶται τάχα τὸν Ἅγιον, καὶ διὰ τῆς λύπης ταύτης δυνηθῇ νὰ τὸν ἑλκύσῃ εἰς τὴν θρησκείαν του.

Ὁ δὲ τοῦ Χριστοῦ Μάρτυς, γνωρίζωντας τὰς μηχανὰς, καὶ τὰ διανοήματα τοῦ τυράννου, μὲ τὴν σοφίαν ἐκείνην, τὴν ὁποίαν ὑπεσχέθη νὰ δίδῃ ὁ Κύριος εἰς ἐκείνους, ὁποῦ ὁμολογοῦν ἐνώπιον τῶν τυράννων τὸ ὄνομά του, ἐστέκετο στερεὸς, καὶ ἀκίνητος εἰς τὴν πίστιν του, δεχόμενος μετὰ εὐχαριστίας τοὺς ῥαβδισμούς. Τὸν ἐρωτᾷ δεύτερον ὁ ἡγεμὼν μὲ ἡμερότητα, καὶ τὸν παρακινεῖ εἰς τὸ νὰ τουρκίσῃ, ἐὰν θέλῃ νὰ τὸν ἐλευθερώσῃ ἀπὸ τὰς παιδείας· ὁ δὲ τῆς ἀληθείας ἀγωνιστὴς πλέον γενναιότερα ἀπὸ τὸ πρῶτον ἀποκρίνεται καὶ τοῦ λέγει, ἤξευρε ὅτι ἐγὼ δὲν εἶναι δυνατὸν νὰ ἀρνηθῶ τὴν πίστιν ὁποῦ πιστεύω, ὄχι μὲ ξυλίας μόνας, καὶ ῥαβδισμοὺς, ἀλλὰ ἂν καὶ μοὶ δώσῃ καὶ ἐπώδυνον θάνατον.

Τότε ὁ ἡγεμὼν θυμωθεὶς, προστάζει νὰ τὸν δείρουσι δυνατώτερα· ἔπειτα στοχαζόμενος ὅτι μήτε ἔτζη ἠδυνήθη νὰ μαλάξῃ κἂν ὀλίγον τὴν γνώμην τοῦ Μάρτυρος, βάλλει ἄλλους ὁμοφίλους του νὰ τὸν παρακινήσουν καὶ αὐτοί. Καὶ ὑπόσχεται νὰ δώσῃ εἰς αὐτὸν, ἐὰν ἀρνηθῇ τὸν Χριστὸν, πολλὰ, καὶ μεγάλα ἀξιώματα, καὶ δωρήματα· ἤξευρε γὰρ ὁ μιαρὸς πόσον αὐτὰ τὰ ταξίματα δύνανται νὰ ἑλκύσουν τὰς τῶν νέων καὶ φιλοσάρκων ψυχάς· ἀλλ' ὁ τοῦ Χριστοῦ Μάρτυς δὲν ἑλκύσθη τελείως ἀπὸ αὐτά· παντελῶς δὲν ἐσυμπόνεσε τὴν ἁπαλὴν φύσιν του· δὲν ἐστοχάσθη, πῶς ἔχει νὰ ὑστερηθῇ γονεῖς, καὶ ἀδελφοὺς, καὶ ἐξαιρέτως τὴν ποθητὴν νύμφην του, οὔτε ἐλυπήθη ποσῶς τὸ νεαρὸν τῆς ἡλικίας του, ἀλλ' ὡσὰν νὰ ἔγινεν ὑπεράνω σαρκὸς καὶ αἵματος, οὕτως ἐστέκετο ὅλος ἀνδρειωμένος, πᾶντα καταφρονῶν, καὶ φωνάζοντας μὲ παῤῥησίαν, ἐγὼ πρὸ ὀφθαλμῶν μου ἔχω τὸν θάνατόν μου, ὦ δικαστὰ, καὶ τὴν πίστιν μου νὰ ἀρνηθῶ δὲν εἶναι τρόπος ποτὲ ποτέ. Ὅθεν ταῦτα ἀκούσας ὁ δικαστὴς, προστάζει τρίτον νὰ δείρουσι τὸν Μάρτυρα μὲ μεγάλην σκληρότητα· ἔπειτα πάλιν τὸν ἐρωτᾷ, καὶ τὸν παρακινεῖ μὲ ὅσους τρόπους, καὶ μηχανὰς ἐδύνετο, διὰ νὰ τὸν τουρκίσῃ· ἀλλ' ὁ Μάρτυς πολλῷ μᾶλλον ἐφώναζεν, ὅτι τὸ νὰ ἀρνηθῶ ἐγὼ τὸν Χριστόν μου, εἶναι πρᾶγμα ἀδύνατον· τέλος πάντων βλέπωντας ὁ θηριογνώμων τὸ ἀμετάθετον τῆς γνώμης τοῦ Μάρτυρος, προστάζει καὶ τέταρτον, καὶ τὸν δέρνουν σκληρότατα ὀπίσω εἰς τὰς πλάτας· ἔπειτα τὸν γυρίζουν καὶ τὸν δέρνουν καὶ ἔμπροσθεν εἰς τὴν κοιλίαν, τόσον ἀνήμερα, ὥστε ὁποῦ ἀφῆκαν τὸν εὐλογημένον ἡμιθανῆ· καὶ οὕτως ἔῤῥιψαν αὐτὸν ὡσὰν ἕνα νεκρὸν εἰς τὴν φυλακὴν, μέσα εἰς τὴν ὁποίαν εὑρισκόμενος, ὁ τρισμακάριστος καὶ εὐχαριστῶν ὁλοψύχως τὸν Κύριον, ὅτι ἠξιώθη νὰ πάθῃ διὰ τὸ ὄνομά του, μετὰ τρεῖς ἡμέρας παρέδωκε τὴν ἁγίαν αὐτοῦ ψυχὴν εἰς χεῖρας Θεοῦ, ἀπὸ τὸν ὁποῖον καὶ ἔλαβε τὸν ἀμαράντινον, καὶ λαμπρὸν τοῦ Μαρτυρίου, καὶ τῆς ἀθλήσεως Στέφανον, καὶ νῦν συναγάλλεται μὲ τὸν χορὸν ὅλων τῶν ἀθλητῶν, καὶ συμμαρτύρων αὐτοῦ. Καὶ εἰς αὐτὸν ἀληθῶς ἠκολούθησεν, ἐκεῖνο ὁποῦ συνέβη καὶ εἰς τὸν βασιλέα Σαοὺλ, ὅστις ζητῶντας τὰς ὄνους τοῦ πατρός του, εὗρῆκεν ὡς πάρεργον τὴν βασιλείαν· ἔτζη καὶ οὗτος ὁ ἀθλητὴς ἑτοιμαζόμενος, καὶ ζητῶντας νὰ λάβῃ νύμφην ἐπίγειον, καὶ νὰ ἀπολαύσῃ νυμφῶνα φθαρτὸν, καὶ νὰ τελέσῃ γάμους προσκαίρους, ἠξιώθη νὰ ἑνωθῇ νοητῶς μὲ τὸν οὐράνιον νυμφίον Χριστὸν, καὶ νὰ εἰσέλθῃ παρθένος εἰς τὸν ἄφθαρτον νυμφῶνα τῶν παρθένων καὶ νὰ ἀπολαύσῃ τὴν χαρὰν, καὶ ἡδονὴν τῶν ἀμιάντων γάμων τοῦ ἀρνίου. Καὶ ἁπλῶς εἰπεῖν ζητῶντας σαρκικὰ, καὶ γήϊνα πράγματα, εὗρε τὴν ἄῦλον καὶ ἀίδιον τῶν οὐρανῶν βασιλείαν· ἧς καὶ ἡμεῖς ταῖς αὐτοῦ πρεσβείαις ἀξιωθείημεν. Ἀμήν.

ΑΚΟΛΟΥΘΙΑ

ΠΑΝΤΩΝ ΤΩΝ ΝΕΟΦΑΝΩΝ ΜΑΡΤΥΡΩΝ.

Τῶν μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως μαρτυρησάντων, ὧν τινες οἱ ὀνομαστότεροι ἐνταῦθα περιέχονται, καὶ ὅτε τις βούλεται τὴν μνήμην τούτων ἐπιτελείτω.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν στίχ. δ'.
καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος, πλ. δ'. Ὅλην ἀποθέμενοι.

Νέφος φαεινότατον, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, πᾶσαν ἐπεσκίασε, τῶν Νεομαρτύρων νῦν, καὶ ἐφαίδρυνεν, ἀρετῶν λάμψεσι, καὶ ταῖς τῆς ἀθλήσεως, καλοναῖς λίαν ἐκάλυνε, καὶ κατελάμπρυνε, ταῖς ἐκ τῶν ἀγώνων λαμπρότησι, βασάνων δὲ τοῖς στίγμασι, νοητῶς αὐτὴν κατεκόσμησε· ταῖς δὲ τῶν θαυμάτων, ἀκτῖσί τε καὶ αἴγλαις νοητὸν, τῇ οἰκουμένῃ ἀνέδειξεν, οὐρανὸν πολύφωτον.

Ἴχνεσιν ἑπόμενοι, τοῖς τῶν ἀρχαίων οἱ νέοι, ἀθληταὶ ἐνήθλησαν, καὶ λαμπρῶς ἠρίστευσαν, οἱ ἀήττητοι, ἐκ παντὸς τάγματος, καὶ Χριστὸν ἐκήρυξαν, καὶ τοῦ πάθους ἐκοινώνησαν, αὐτοῦ οἱ ἔνδοξοι, καὶ βραβεῖα νίκης ἀπέλαβον, καὶ δόξης ἠξιώθησαν, καὶ στεφανηφόροι παρίστανται, τῷ ἀστέκτῳ θρόνῳ, σὺν δήμοις τῶν Ἀγγέλων καὶ χοροῖς, τῶν συμμαρτύρων καὶ ἅπασι, τοῖς δικαίων τάγμασι.

Καλλίνικοι μάρτυτες, τῆς Ἐκκλησίας ἡ νέα, βάσις καὶ ἀσφάλεια, τοῦ Εὐαγγελίου τε, ἡ ἐκπλήρωσις, τῶν πιστῶν καύχημα, ἀσεβούντων ὄνειδος, τοῦ Σωτῆρος οἱ τὰ ῥήματα, ἔργῳ τελέσαντες, καὶ τὰ θεία τούτου παθήματα, τρανῶς ἐξεικονίσαντες, διὰ πολυτρόπων κολάσεων, καὶ παθῶν παντοίων, μαστίγων καὶ ἀγχόνης καὶ πυρὸς, ξεσμῶν καὶ ξίφους δεήθητε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἡ γῆ οὐ κατέκρυψεν, ἀλλ' οὐρανὸς ἐπαξίως, ὑμᾶς ὑπεδέξατο, καὶ λαμπρῶς ἐδόξασε Νεομάρτυρες, καὶ τερπνῶς ἥνωσε, τοῖς Ἀγγέλων τάγμασιν, Ἀποστόλων προφητῶν ὁμοῦ, καὶ τῶν ὁσίων τε, καὶ τῶν ἀθλησάντων τὸ πρότερον· μεθ' ὧν νῦν ἀγαλλόμενοι, καὶ φωτὸς ἀῤῥήτου πληρούμενοι, μέμνησθε ἀπαύστως, ἡμῶν νῦν ἐτησίως ἐν ᾠδαῖς, ἡμῶν τιμώντων τὴν σύναξιν, τὴν ἀειμακάριστον.

Δόξα, ἦχος, πλ. δ'.

Φωστῆρες νοητοὶ ἐξανέτειλαν πᾶσιν ἡμῖν οἱ θεῖοι τοῦ Χριστοῦ Νεομάρτυρες, ἁπλανῶς ὁδηγοῦντες πρὸς τὰς εὐθείας τρίβους, τῶν σωτηρίων αὐτοῦ ἐντολῶν· τῷ γὰρ τῆς αὐτῶν ἀληθοῦς μετανοίας φωτὶ, καὶ τῆς ἀκριβοῦς τῶν θείων νόμων τηρήσεως φωτιζόμενοι, τῆς τε πρὸς τὸν Χριστὸν ὑπερεχούσης ἀγάπης τὴν θείαν χάριν ἐν ἑαυτοῖς εἰσοικήζομεν, καὶ τὸ μέγα ἔλεος κομιζόμεθα παρὰ Θεοῦ ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου.

Εἰς τὸν Στίχ. ἦχος, πλ. δ'. Αἱ ἀγγελικαί.

Ὅλη παμφαὴς, τῶν μαρτύρων ἡ χορεία, τῶν Νεοφανῶν, δίκην ἄστρον σελασφόρων, λαμπρὰ ὑπάρχει ὅλη, ταῖς τῶν ἄθλων λαμπρότησιν, ὅλη τῶν ἀγώνων ταῖς ἀκτῖσι, φαιδρὰ ὑπὲρ ἥλιον τυγχάνει, ὅλη πέφυκεν, ἀστραπηβόλος τοὺς πιστοὺς, ἐνθέως φωτίζουσα.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ῥώμῃ θαυμαστῇ, καὶ ἀνδρείᾳ ἀηττήτῳ, στίφη τῶν ἐχθρῶν, κατετρόπωσε γενναίως, μαρτύρων νέα φάλαγξ, τροπαιοῦχος παράταξις, τάγμα ἱερώτατον καὶ θεῖον, δῆμος θεοσύλλεκτος Ἁγίων, οὓς ὑμνήσωμεν, ὡς στρατιώτας τοῦ Χριστοῦ, καὶ πίστεως φύλακας.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Οὕτως ἀθληταί, τὴν ἀσύγκριτον ἀγάπην, πρὸς τὸν λυτρωτὴν ἐπεδείξασθε προθύμως, δι' ὃ ἡμᾶς οὐ θλίψεις, οὐ λιμοὶ οὐδὲ κίνδυνοι, ταύτης ἐχωρίσαι κατὰ Παῦλον· οὐ πῦρ οὐδὲ ξίφος οὐδὲ βρόχοι, ἠδυνήθησαν, οὐδὲ ἐξώσεις ὀφθαλμῶν, οὐ τέλος ὁ θάνατος.

Δόξα, καὶ νῦν.

Ὑψιστε Θεὲ, Πάτερ Λόγε καὶ τὸ Πνεῦμα, οἰκτειρον ἡμᾶς, εὐπροσδέκτους ἱκεσίαις· τῆς θείας νεολέας, τῶν Μαρτύρων φιλάνθρωπε, τῶν ἐν τῷ σταδίῳ παῤῥησίᾳ, μόνον ἀληθῆ Θεὸν τῶν ὅλων, κηρυξάντων σε, καὶ τὴν ἀῤῥήτως ἐκ μητρὸς, τοῦ υἱοῦ ἐνσάρκωσιν.

Ἀπολυτίκιον ἦχος, γ'. Θείας πίστεως.

Νέοι μάρτυρες, παλαιὰν πλάνην κτλ.

Ζήτει ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Καὶ Ἀπόλυσις.

Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ.

Μετὰ τὸν Προοιμιακὸν. Ψάλλομεν τὸ, Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ἡ. καὶ ψάλλομεν σιχηρὰ προσόμοια. Νικοδήμου Μοναχοῦ.

Ἦχος, ά. Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος! ἐν ὑστέροις καιροῖς, ἐκλάμπουσι Μάρτυρες, καὶ πλάνης τὸν σκοτασμὸν ἀποδιώκουσιν· ἡ πίστις Χριστιανῶν, νῦν ἀνυψοῦται καὶ πίπτει ἀσέβεια· ἀγάλλονται οἱ πιστοὶ, καὶ ἑορτὴν συγκροτοῦσι παγκόσμιον, τῶν νεοφανῶν βοῶντες, Μαρτύρων τὸ καύχημα, καὶ βραβεῖον καὶ νίκη, σὺ ὑπάρχεις παντοδύναμε. Δίς.

Βαθαὶ τῶν σῶν θαυμασίων Χριστέ! ὧν περὶ τὸν Κλῆρον, τὸν σὸν ἄρτι ἔδειξας! τὸ γένος τὸ ἀσθενὲς νῦν ἐθριάμβευσε, τῶν δυνατῶν τὰς ἀρχὰς, καὶ ἐξουσίας τοῦ σκότους ὡς γέγραπται· νεοφανεῖς ἀθλητὰς, τοῖς παλαιοῖς παραβάλλονται Μάρτυσιν, ἔν τε τῇ ὁμολογίᾳ, τῇ στερρᾷ τῆς πίστεως, ἐν βασάνων ἰδέαις, ἐν σημείοις τε καὶ θαύμασιν.

Ὑμῶν τιμῶσι τὴν ἄλησιν, Ἀγγέλων αἱ τάξεις, καὶ Ἁγίων σύλλογοι, καὶ πάντων φιλομαρτύρων τὰ συστήματα· δοξάζεται ὁ Χριστὸς, καὶ οἱ τῆς πλάνης προστάται αἰσχύνονται. Ἀσπάζεται ἡ Τριὰς, τοὺς ἑαυτοῖς ἱεροὺς Νεομάρτυρας, καὶ κατακοσμεῖ στεφάνοις, καὶ συνάπτει Μάρτυσι, παλαιοῖς καὶ δοξάζει, Οἰκουμένης εἰς τὰ πέρατα.

Ἕτερα προσόμοια ἦχος, δ'.

Ὡς Γενναῖον ἐν μάρτυσι.

Φιλεόρτων συζήματα, πανταχόθεν συνδράμετε, καὶ κοινὴν πανήγυριν συγκροτήσατε· ἰδοὺ γὰρ νέοι ἐφάνησαν, Μάρτυρες ἐν πέρατι, γενεᾶς τῆς καθ' ἡμᾶς, προμηθείᾳ τοῦ κρείττονος· οἱ κηρύξαντες, τὴν ὀρθόδοξον πίστιν ἐν σταδίῳ, καὶ τοὺς Ἄγαρ ἀπογόνους, κακῶς φρονοῦντας ἐλέγξαντες. Δίς.

Τοὺς τῆς πίστεως φύλακας, καὶ τῆς πλάνης τοὺς ἄνδρακας, τοὺς Χριστὸν δοξάσαντας ἐν τοῖς μέλεσι, τοῖς ἑαυτῶν καὶ βασάσαντας, αὐτοῦ σεπτὰ στίγματα, καὶ ἀγγέλους, καὶ βροτεῖς, χρηματήσαντας θέατρον, εὐφημήσωμεν τοὺς στερρούς Νεομάρτυρας Κυρίου ἱεραῖς ἐν ὑμνῳδίαις, τῶν ὀρθοδόξων τὸ πλήρωμα.

Τῷ πυρὶ ἐκκαιόμενοι, τῆς Χριστοῦ ἀγαπήσεως, ὡς τρυφὰς τὰ βάσανα ἐλογίσασθε ὡς ἁπαλὰ ῥόδα μάστιγας· πῦρ ὡς αὔραν ἔνδροσον, ὡς Παράδεισον εἱρκτήν· τὰ δὲ ξίφη ὡς στέφανον, καὶ τὸν θάνατον, ὡς ζωὴν κατησπάσασθε γλυκεῖαν Νεομάρτυρες Κυρίου, ὅθεν ὑμᾶς μακαρίζομεν.

Δόξα, ἦχος, πλ. δ'.

Νεοφανεῖς ἀστέρες σήμερον, ἐν τῷ τῆς Ἐκκλησίας ἀνέτειλαν στερεώματι, οὐκ ἀποτροπαίους ἐκβάσεις, ἀλλ' ἀγαθῶν ἐπιῤῥοὰς τῇ οἰκουμένῃ μηνύοντες, ἅπαντες οἱ μετὰ τὴν ἅλωσιν τῆς βασιλίδος, πολλαχοῦ γενόμενοι Χριστομάρτυρες. Δεῦτε οὖν φιλέορτοι πᾶντες, χρεωστικῶς αὐτοῖς προσείπωμεν λέγοντες· χαίρετε, τῆς ὀρθοδόξου πίστεως οἱ χρηματίσαντες ἀνακαίνισις, καὶ τῆς ἀσεβείας τῶν ἀγαρηνῶν ἡ κατάργησις· χαίρετε τῆς Ἀνατολικῆς Ἐκκλησίας ἡ δόξα, καὶ ἑτεροδόξων ἡ ἀναφαίρετος καταισχύνη· χαίρετε, οἱ τύποι

γενόμενοι ὑπομονῆς τοῖς ποιστοῖς, καὶ τοῦ διὰ Χριστὸν ἀθλεῖν ἐν καιρῷ τῷ προσήκοντι· πάριτε μέσον ἡμῶν νοερῶς, τῶν δεινῶν ἐκλυτρούμενοι, καὶ πρεσβεύετε ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν ὁ Αὐτός. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. Τὸ, Φῶς Ἱλαρόν.

Τὰ ἀναγνώσματα τῶν Ἁγίων πάντων.

Εἰς τὴν λιτήν. ἦχος, ά.

Εὐφραίνου ἡ Ἀνατολικὴ Ἐκκλησία, εὐφροσύνην τὴν ἐν Θεῷ. Ἀγγάλλου καὶ χόρευε, ἡ ἐκλεκτὴ νύμφη τοῦ Χριστοῦ· καὶ οἷα φιλόπαις μήτηρ, ὡς δύω φιλτάτους υἱοὺς, τοὺς παλαιοὺς καὶ τοὺς νέους σου Μάρτυρας, ἐν ἀμφοτέραις ταῖς ἀγκάλαις βαστάζουσα, προφητικῶς τῷ νυμφίῳ σου Χριστῷ ἀναβόησον· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκας Κύριε, ἃ διὰ τῆς χάριτός σου πνευματικῶς γεννήσασα, καὶ γάλακτι εὐσεβείας ἐκθρέψασα, τελείους ὑπὲρ τοῦ ὀνόματός σου ἀνέδειξα Μάρτυρας· πρόσδεξαι οὖν τὰ αἵματα αὐτῶν, ὡς θυσίαν εὐάρεστον, καὶ ἵλεως ἐπ' ἐμοὶ γεγονὼς, τῆς κατεχούσης με δουλείας, καὶ πάσης αἱρέσεως ἐλευθέρωσον, ἣν τῷ τιμίῳ σου ἐξηγόρασας αἵματι. Ἦχος, β'.

Τῷ Χριστῷ δι' ἀγάπης συγκεκραμένοι, καλλίνικοι Νεομάρτυρες, καὶ τοῦτον ἔνοικον διὰ τῆς πίστεως φέροντες, καὶ ὑμεῖς ἐν Χριστῷ ἐνηθλήσατε, καὶ ὁ Χριστὸς ἐν ὑμῖν, καὶ δι' ὑμῶν ἤθλησεν, ὡς κεφαλὴ τὰ τῶν μελῶν, οἰκεῖα τὰ ὑμέτερα πάθη, καὶ τὸν θάνατον λογιζόμενος· ὑμεῖς γὰρ τὰ ὑστερήματα τῶν παθῶν τούτου ἀνεπληρώσατε· ὅθεν τὰ λείψανα ὑμῶν, δαιμόνων φυγαδευτήρια, καὶ παντοίας νόσου λυτήρια γίνονται, ὡς ἐν τῇ ἑνώσει τῶν παθῶν τοῦ Κυρίου τετιμημένα· ἃ πιστῶς προσκυνοῦντες, δεόμεθα πρεσβεύειν ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος, γ'.

Εἴ τις εὐφημία καὶ ἔπαινος· εἴ τινες ἐγκωμίων τρόποι, καὶ τέχναι καὶ μέθοδοι, ὑμῖν δικαιότατα πρέπουσι, στερρότατοι νεομάρτυρες· ὑπὸ τὸν ζυγὸν γὰρ τῆς δουλείας στενάζοντες, ἐλεύθεροι τῇ πίστει ἐδείχθητε. καὶ ὑπὲρ Χριστοῦ, καὶ τῆς Ὀρθοδόξου λατρείας, πεῖραν πολλῶν ὑποστάντες βασάνων, κατὰ διαφόρους καιροὺς καὶ τόπους· ὁ μὲν διὰ ξίφους· ὁ δὲ δι' ἀγχόνης· ὁ δὲ διὰ πυρὸς, καὶ ἄλλος δι' ἄλλου, τὸ μακάριον τέλος ἐδέξασθε. Καὶ νῦν, ἐν οὐρανοῖς τοῖς παλαιοῖς συγχωρεύετε Μάρτυσι, καὶ σὺν αὐτοῖς πρεσβεύετε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος, δ'.

Βασιλεῖς καὶ ἱερεῖς τῷ Θεῷ, κατὰ τὸ γεγραμμένον, ἐχρηματίσατε, ἱεροὶ Νεομάρτυρες, διὰ τῆς στερρότατης ἡμῶν ἀθλήσεως· βασιλεῖς μὲν, ὡς κατὰ τῶν παθῶν τῆς σαρκὸς, καὶ κόσμου, καὶ κοσμοκράτορας βασιλεύσαντες· ἱερεῖς δὲ ὡς ἑαυτοὺς τῷ Θεῷ, ἱερεῖα καθαρὰ προσαγαγόντες καὶ σφάγια. Καὶ νῦν τῷ βασιλεῖ καὶ ἱεράρχῃ Χριστῷ ἐν οὐρανοῖς παριστάμενοι, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος πλ. δ'.

Ἔχει μὲν ἐν οὐρανοῖς, τῶν μακαρίων ἡ πληθὺς, προσθήκην χαρᾶς, τὰ ἄῦλα ὑμῶν πνεύματα, μεγάλαθλοι Νεομάρτυρες· ἔχοντες δὲ καὶ ἡμεῖς ἐπὶ γῆς, οἱ τῆς σαρκὸς δέσμιοι, τὰ ὑλικὰ ὑμῶν λείψανα, πνευματικῆς εὐφροσύνης πληρούμεθα τὸν ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, καὶ τὴν θεραπείαν τῶν παθῶν, ἐξ αὐτὸν ἀρυόμενοι· καὶ εὐχαρίστως τῷ Χριστῷ ἀνακράζομεν· δόξα σοι Κύριε, τῷ καὶ ἐν τῇ καθ' ἡμᾶς αἰχμαλώτῳ γενεᾷ, νέους ἀναδείξαντι μάρτυρας, εἰς στηριγμὸν τῆς πίστεως· εἰς παραμυθίαν τῆς αἰχμαλωσίας, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Εἰς τὸν στίχ. ἦχος πλ. ά.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις Νεομαρτύρων πληθὺς, Θεοῦ τοῦ ζῶντος, ἡ γενναία παράταξις, ἡ πλάνην καταβαλοῦσα, Ἀγαρηνῶν ἀνδρικῶς, καὶ Χριστοῦ τὴν πίστιν ἀνυψώσασα· τὰ ἄνθη τὰ πνέοντα, εὐωδίαν τὴν ἄῤῥητον.

νέοι κομῆται, Ἐκκλησίας στερέωμα οἱ αὐγάσαντές, καὶ τὴν γῆν οὐρανώσαντες· αὗραι αἱ ζωηρόταται, πιστοὺς ἀναψύχουσαι, λυποθυμοῦντας καθ' ὥραν, ὑπὸ ζυγὸν τῆς ἁλώσεως· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις.

Χαίροις Νεομαρτύρων πληθύς· τῆς Ἐκκλησίας τὰ νεόδμητα φρούρια· οἱ κύκλοι πασῶν χαρίτων, αἱ ἀπαρχαὶ τῆς ἡμῶν, γενεᾶς καὶ χίδρα τὰ νεόδρεπτα. Θεῷ προσαγόμενα, τῷ δεσπότῃ τῆς φύσεως· νέαι θυσίαι, αἱ τερπναὶ καὶ θεάρεστοι· οἱ παθήματα, τοῦ Χριστοῦ μιμησάμενοι· ὄμβροι οἱ νεοστάλακτοι, αἱμάτων τοῖς ῥεύμασι, πλάνην βυθίσαντες Ἄγαρ, καὶ μαρανθεῖσαν ποτίσαντες, τὴν ἔνθεον πίστιν· ταῖς ψυχαῖς ἡμῶν αἰτεῖσθε τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς Ἁγίοις, τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Χαίροις νεομαρτύρων πληθύς· πιστῶν ἡ δόξα, καὶ χαρὰ καὶ καλλώπισμα· οἱ πάντων, ἀρνησιχρίστων, ὑπογραμμοὶ θαυμαστοί· ὁ στρατὸς ὁ νέος τοῦ παντάνακτος· χορὸς νεοσύλλεκτος· τὰ νεόσφακτα πρόβατα, συνειλεγμένα, ἀπὸ χρόνον ἁλώσεως· οἱ τῆς πίστεως, πρόμαχοί τε καὶ φύλακες· πρέσβεις οἱ ἀκαταίσχυντοι· οἱ χρόνοις μὲν ἔσχατοι, καὶ παλαιοὶ τοῖς βασάνοις· ὑπομονῆς στῆλαι ἔμψυχοι. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα, ἦχος, δ'.

Σήμερον ἔαρ νοητὸν, ἐν χειμῶνι μέσῳ τῆς τυραννικῆς αἰχμαλωσίας, τῇ οἰκουμένῃ ἐπέλαμψεν, οὐχ ὑπὸ μιᾶς χελιδόνος, ἀλλ' ὑπὸ ὀγδοήκοντα καὶ πρὸς, Νεομαρτύρων συνιστάμενον. Δεῦτε οὖν φιλέορτοι, καὶ φιλοθεάμονες, εἰς τὰ Μαρτύρια αὐτῶν, ὡς εἰς λειμῶνας πολυειδεῖς εἰσελθόντες, τὰ ψυχικὰ ἡμῶν αἰσθητήρια ἐστιάσωμεν· καὶ ἴδωμεν ἐκεῖ παντοδαπὰ εἴδη ἀνθέων, ἄρτι τῶν καλύκων προκύψαντα· ποικίλα τῇ ὄψει, εὔοσμα τῇ ὀσφρήσῃ· ἁμάραντα τῷ χρόνῳ, καὶ πάντα βεβαμμένα τῷ ἐρυθρῷ τοῦ αἵματος χρώματι· καὶ πρὸς Χριστὸν βοήσωμεν. Κύριε, ὁ νεωστὶ ταῦτα φυτεύσας, ταῖς πρεσβείαις αὐτῶν, τοῦ αἰωνίου ἔαρος τῆς βασιλείας σου ἀξίωσον ἡμᾶς ὡς φιλάνθρωπος.

Καὶ νῦν. Ἐκ παντίων κινδύνων.

Ἀπολυτίκιον, ἦχος, γ'. Θείας πίστεως.

Νέοι Μάρτυρες, παλαιὰν πλάνην, καταστρέψαντες, ὕψωσαν πίστιν, τῶν Ὀρθοδόξων, καὶ στερρῶς ἠγωνίσθησαν· τὴν γὰρ ἀνόμων θρησκείαν ἐλέγξαντες, ἐν παῤῥησίᾳ Χριστὸν ἀνεκήρυξαν, Θεὸν τέλειον. Καὶ νῦν ἀπαύστως πρεσβεύουσι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον.

Μετὰ τὴν ά. στιχ. Κάθ. ἦχος, ά.

Τὸν τάφον σου Σωτήρ.

Ὡς ἥλιοι λαμπροί, ἐν νυκτὶ τῆς δουλείας· ὡς ἄγκυραι στερρᾶι, ἐν καιρῷ τρικυμίας, ἐδείχθητε τοῖς πέρασιν, ἱεροὶ Νεομάρτυρες, ὑπανάπτοντες, πιστοὺς πρὸς θείαν ἀγάπην· καὶ στηρίζοντες, σαλευομένας καρδίας, πρὸς πίστιν τὴν ἔνθεον.

Δόξα. Ὅμοιον.

Ἀθλήσαντες στερρῶς, ὑπὲρ πίστεως θείας, ἐσχάτοις ἐν καιροῖς, Νεομάρτυρες πάντας πρὸς δόξαν τε καὶ αἴνεσιν, τοῦ Θεοῦ διεγείρετε, τοῦ νευρώσαντος, τὴν ἀσθενῆ ὑμῶν φύσιν, καὶ δοξάσαντος, ἐπὶ τῆς γῆς καὶ ἐν πόλῳ, ποικίλοις χαρίσμασι.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ μέγας ἐν σμικρῷ, Κόσμος τοῦ κοσμοπλάστου· σὺ πέλεις Μαριὰμ, Κορωνὶς Χρησμῶν θείων· βυθὸς ὁ ἀνερμήνευτος, ἀκενώτου κενώσεως· ἐξεικόνισμα, τῆς ἀρχικῆς εὐπρεπείας, θεοσφράγιστος, βίβλος τῶν θείων κριμάτων· πηγὴ χαριτόβρυτος.

Μετὰ τὴν δ'. στιχ. Καθ. ἦχος, δ'.

Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγησαν ὑμῶν, τὴν ἀριστείαν ἀθληταί· τῶν Ἀγγέλων οἱ χοροί, καὶ Ὀρθοδόξων ἡ πληθύς· πῶς μετὰ σώματος πάσχοντες φθειρομένου, ἀσάρκους δυσμενεῖς ἐνικήσατε. Καὶ ἄγαρ ἀπογόνους ἠσχύνατε· καὶ εὐχαρίστως κράζουσι τὸν αἶνον. Δόξα σοι Κύριε δόξα σοι, τῷ ἐν ὑστέροις, χρόνοις γενέσθαι, εὐδοκήσαντι Μάρτυρας.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἀπειρόγαμε Ἁγνὴ, πῶς συλλαμβάνεις ἐν ἀγαστρὶ, τὸν ἁπάντων τὴν πνοὴν, περιλαμβάνοντα χερσί; φράσον ἡμῖν τὸν λόγον τοῦ Μυστηρίου σου· πανάληθες ἔστι τοῦτο ὦ ἄνθρωπε· καὶ παῦσαι ἐρευνῶν τὸ ἀκατάληπτον, ὕψος καὶ βάθος μῆκος καὶ πλάτος, τῆς ἀπειράνδου λοχείας μου· νικᾷ γὰρ ταῦτα, ἔννοιαν πᾶσαν, Ἀγγέλων καὶ τῶν ἀνθρώπων.

Μετὰ τὸν πολυέλεον. Κάθ. ἦχος, γ'.

Τὴν ὡραιότητα.

Τοὺς Νεομάρτυρας, πάντες τιμήσωμεν, τοὺς καταργήσαντας, πλάνην τὴν βάρβαρον, καὶ τὴν ὀρθόδοξον Χριστοῦ, πίστιν ἀνακηρύξαντας, πρός αὐτοὺς κραυγάζοντες· ἀπὸ πάσης κακώσεως, ἡμᾶς ἐκλυτρώσασθε, τοὺς ἐκ πόθου γεραίροντας, ἡμῶν τὴν πανσεβάσμιον μνήμην, ἐν ἱεραῖς ὑμνολογίαις·

Δόξα, καὶ νῦν Θεοτοκίον.

Κατατιτρώσκει με, βέλος γλυκύτατον, τῆς ἀγαπήσεως, τῆς σῆς πανύμνητε· καὶ ἀναγκάζει με πικνῶς, βοᾶν σοι εὐλογημένη· χαίροις ἡλιόμορφε, βασιλέως παλάτιον· χαῖρε στῦλε πύρινε, καὶ νεφέλη ὁλόφωτε· Χαῖρε τοῦ οὐρανοῦ καὶ γῆς θαῦμα. Χαῖρε ἁπάντων ὑπερτέρα.

Οἱ ἀναβαθμοί, τὸ ά. Ἀντίφωνον, τοῦ δ'. ἦχου. Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις. στιχ. τοῖς Ἁγίοις ἐν τῇ γῇ αὐτοῦ. Τὸ, Πᾶσα πνοή. Εὐαγγέλιον Μαρτυρικὸν, εἰς τὸ κατὰ Λουκᾶν. Ὁ Ν'. Δόξα. Ταῖς Νεομαρτύρων πρεσβείαις.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἐλεῆμον, Ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ Ἰδιόμελον. ἦχος δ'.

Τῷ πρωτομάρτυρι Χριστῷ τῷ Θεῷ, σὺν τοῖς παλαιοῖς Μάρτυσιν ἁμέσως ἐν οὐρανοῖς παριστάμενοι, πολύαθλοι Νεομάρτυρες, στολῇ λευκῇ τῆς μακαρίας δόξης κατακοσμεῖσθε, ἐν μὲν τῇ δεξιᾷ χειρὶ τὸν σταυρὸν, ἐν δὲ τῇ ἀριστερᾷ ὄρπηκα κατέχοντες φοινικος, σύμβολον νίκης, ἣν κατὰ τῶν τυραννούντων ἐστήσατε· καὶ ἐπὶ κεφαλῆς, στέφανον φοροῦντες βασιλικὸν, καὶ ἀμάραντον· θεοὶ οὖν Θεῷ, καὶ βασιλεῖς βασιλεῖ, τῷ κατὰ φύσιν οἱ κατὰ χάριν, ἐνούμενοί τε καὶ εἰς αἰῶνας συμβασιλεύοντες, πρεσβεύσατε ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου τελούντων ὑμῶν τὰ μνημόσυνα.

Κανὼν εἰς τῆς Θεοτόκου, οἷον βούλει εἰς ς'.

Καὶ τῶν Νεομαρτύρων. εἰς ή.

Ὠδὴ, ά. ἦχος, πλ. δ'.

Ἁρματηλάτην Φαραώ.

Τριὰς μονάς τε, καὶ μονὰς Τρισήλιε, τὸν σκοτισθέντα μου νοῦν, φώτισον ἐν γνώσει, καὶ τὴν γλώτταν τράνωσον, τὴν ῥυπαρὰν καὶ ἄμουσον· ὅπως μέλψω ἀξίως κατὰ στοιχεῖον καὶ ὄνομα, τοὺς σοὺς ἱεροὺς Νεομάρτυρας.

Αἰνῶ αἰσίως, Ἀγγελὴν τὸν ἔνδοξον, καὶ μουσικόλαλον, τὸν ἐξ Ἀτταλείας, μέλπω Ἀθανάσιον, τὸν θύτην παντοκράτορος· καὶ ὁμόπατριν τούτῳ, ἄλλον τιμῶ Ἀθανάσιον, σὺν Ἀναστασίῳ τῷ Βούλγαρει.

Τὸ Νικαέων εὐκλεὲς καλλώπισμα, ὁ Ἀθανάσιος, καὶ Θεσσαλονίκης, οἱ Βλαστοὶ Ἀλέξανδρος· καὶ θεῖος Ἀθανάσιος, καὶ Ναυπλοίου τὸ κλέος, ὁ ἔνδοξος Ἀναστάσιος, καὶ ὁ ἄχμεδ Κάλφας τιμάσθωσαν.

Θεοτοκίον.

Σὺ πρωτουργῶς, πασῶν χαρίτων πλήρωμα, ἐκ τῆς Τριάδος Ἁγνὴ, δεχομένη τοῦτο, πᾶσι νέμεις ἄχραντε, δι' ὅσου ἡ πανεύφημος, Ἀκυλίνα τῷ πόθῳ, καὶ Ἀργυρῆ ἡ πανθαύμαστος, ἤθλησαν στερρῶς μέχρις αἵματος.

Ὠδὴ. γ'. Οὐρανίας ἁψίδος.

Ἀναστάσιος θεῖος, ὁ ἱερεὺς ᾄδεται, καὶ τῶν Ἀθηναίων τὸ εὔχος στερρὸς Ἀντώνιος, καὶ Ἀναστάσιος, ὁ ἐξ Ἀγκύρας τιμᾶται, καὶ Βελλᾶς Αὐξέντιος τὸ θεῖον βλάστημα.

Γαβριὴλ Βυζαντίου, τὸν εὐκλεῆ πρόεδρον, σὺν τῷ Γαβριὴλ τῷ Σερβίας, Γαβριὴλ ἕτερον, ὁσιομάρτυρα, σὺν Γεωργίῳ γεραίρω, μεθ' ὧν καὶ Γεώργιον Φιλαδελφείας βλαστόν.

Καὶ γεώργιον ἄλλον, ἀνευφημῶ Κύπριον, καὶ τὸν ἐν σοφίᾳ γεραίρω θεῖον Γεώργιον, καὶ τὸν ἀθλήσαντα, ἐν Μαγνησίᾳ νομίμως, ἀνυμνῶ Γεώργιον τὸν ἀξιάγαστον.

Θεοτοκίον.

Νύμφη ὤφθης ὡραία, Θεοῦ Πατρὸς ἄχραντε· τοῦ υἱοῦ δὲ μήτηρ θηγάτηρ δὲ Πνεύματος· κατοικητήριον, τῆς ἀρχηφώτου Τριάδος· ὅλης τῆς θεότητος ἔμψυχον τέμενος.

Κάθ. ἦχος, πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Τῶν λειψάνων αἱ θεῖαι ἡμῶν σοροί, ἰατρεῖα ὑπάρχουσι θαυμαστά· ἀπόδειξις ἔμψυχος, τῆς ὀρθῆς ἡμῶν πίστεως· καὶ θησαυροὶ παντοίων, θαυμάτων κοσμόπλουτοι· κρονοβαφῆ καὶ ἄσηπτα, πυξία τοῦ πνεύματος· τῶν ἐπουρανίων, ἀρωμάτων φιάλαι, νικῶσαι κιννάμωμον, μῦρον νάρδον καὶ κάλαμον, καὶ τῆς γῆς τὰ ἀρώματα· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, ἡμῖν τοῖς πόθῳ τιμῶσιν, ὑμᾶς Νεομάρτυρες.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μυριώνυμον ἅρμα τὸ τοῦ Δαβίδ· πορφυρόστρωτος κλίνη τοῦ Σολομών· τόμος Θεοχάρακτος, Ἡσαΐου καὶ ἔμψυχος· σκηνὴ τοῦ Μωϋσέως· καὶ τεῖχος ἀδάμαντος, σὺ τοῦ Ἀμὼς ὑπάρχεις. Λυχνία χρυσήλατος, ἡ τοῦ Ζαχαρίου· Δανιήλ τε τὸ ὄρος, πυξίον κορκόλευκον. Ἀββακοὺμ καὶ τὸ ἔξοχον· προφητῶν πάντων λάλημα· πρέσβευε τῷ σῷ υἱῷ καὶ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς σεβομένοις ἐν πίστει τὸν ἄσπορον τόκον σου.

Ὠδὴ, δ'. Σύ μου ἰσχύς.

Δαμασκηνὸς, ὁ ἱερεὺς χαίρων ἤθλησε· καὶ ὡς ῥόδον, νέον ὁ Δημήτριος, Φιλαδελφέων ἡ καλλονή, ἔφυ καὶ σὺν τούτῳ, ὁ τορναράτος Δημήτριος· καὶ Δῆμος ὁ ἐν Σμύρνῃ, εὐκλεῶς μαρτυρήσας· καὶ πολλὰ ἐκτελέσας θαυμάσια.

Δαμασκηνὸς, Δαμιανός τε οἱ ὅσιοι, σὺν τῷ θείῳ, στέφους ἠξιώθησαν Διονυσίῳ ἀθλητικοῦ, καὶ ὁ ἐκ τῆς Λέσβου, Δούκας ἀθλήσας δεδόξασται, σὺν τῷ ἐν Βυζαντίῳ, ἀθλητῇ Δημητρίῳ, τὰ βραβεῖα τῆς νίκης δεξάμενοι.

Ὕμνοις τιμῶ, Κορίνθου τὸν Ἀρχιποίμενα, Ζαχαρίαν, καὶ Ζώρζην τὸν Ἴβηρα, τὸν ἐν τῇ Λέσβῳ καὶ σὺν αὐτῷ, ἄλλον Ζαχαρίαν, τὸν ἐκ τῆς Ἄρτης ἀνθήσαντα, Ἠλίαν τε σὺν τούτοις, τὸν Ἀρδούνην γεραίρω, τοὺς κλεινοὺς τοῦ Χριστοῦ Νεομάρτυρας.

Κέδρος στερρὰ, ταῖς ἀντιπνοίαις ἀκλόνητος, τῶν βασάνων ὁ νέος Θεόδωρος, τῆς Βυζαντίδος σεπτὸς βλαστὸς, ὤφθη καὶ σὺν τούτῳ, ἄλλος Θεόδωρος Λέσβιος, καὶ Θεοφάνης ἅμα, μοναζόντων τὸ κλέος, καὶ Θεόφιλος Χίου ὁ ἔφορος.

Θεοτοκίον.

Νέος Ἀδὰμ, ἀντὶ τοῦ πάλαι γεγέννηται, ὁ υἱός σου, σὺ δὲ μῆτερ ἄχραντε, ἀντὶ τῆς Εὔας· ὁ δὲ σταυρὸς, ἀντὶ γνωστοῦ ξύλου, ὁ Γαβριὴλ ἀντὶ ὄφεως· ἀντὶ Ἐδὲμ ὁ πόλος· ἡ χαρὰ ἀντὶ λύπης, ὢ καλῶν θυμωνία ἀντίστροφος!

Ὠδὴ, έ. Ἵνα τί με ἀπώσω.

Γλῶσσα πᾶσα γεραίρει, τὸν ὁσιομάρτυρα θεῖον Ἰάκωβον· καὶ τὸν τούτου μύστην, καὶ διάκονον ἄλλον Ἰάκωβον· καὶ τὸν Ἰορδάνην Τραπεζουντίων μέγα εὔχος, τοὺς Χριστὸν ἐν τοῖς ἄθλοις δοξάσαντας.

Τίς αἰνεῖν οὐκ ὀφείλει, τῶν Ἰωαννίνων τὸ κάλλιστον βλάστημα, θεῖον Ἰωάννην; καὶ κλεινὸν Σοσταβίας ἀγλάϊσμα ἄλλον Ἰωάννην; καὶ μετὰ τούτων καὶ σὺν τούτοις, Κουλικᾶν Ἰωάννην τὸν ἔνδοξον.

Βυζαντίδος τὸ κλέος, τέκτων Ἰωάννης ὑμνείσθω ἐν ᾄσμασι· καὶ ὁ Θάσου γόνος, Ἰωάννης ἀκέστης αἰνείσθω μοι, καὶ ὁ τῆς Δακίας, σεπτὸς βλαστὸς ἀνευφημείσθω, Ἰωάννης οἱ τρεῖς χαρυτώνυμοι.

Θεοτοκίον.

Κέντρον ὤφθης χαρίτων· σφαιρά τε πολύαστρος θεοχαρίτωτε· τῶν ζωδίων κύκλος, δι' οὗ μέσου διέβη ὁ ἥλιος, τῆς δικαιοσύνης, καὶ τῆς φρικτῆς οἰκονομίας, τὴν περίοδον πᾶσαν ἐπλήρωσεν.

Ὠδὴ, ς'. Τὴν δέησιν ἐκχεῶ.

Ὁ ναύκληρος Ἰωάννης ἄξιος, ἀληθῶς ὠδῆς ὑπάρχει μυρίας· καὶ ὁ στερρὸς, Ἰωάννης ὁ μείραξ, ἄλλος δειχθεὶς Μακκαβαῖος ἐν χάριτι· λαλεῖται δὲ καὶ σὺν αὐτοῖς, Ἰωάννης Βουλγάρων τὸ καύχημα.

Ὅσιος Ἰωάσαφ ἤθλησε, καὶ ἠρίστευσε νομίμως σὺν τούτῳ, ὁ Ἰωσὴφ, ἐκ Συρίας ὑπάρχων· καὶ ὁ τῆς χάριτος κήρυξ ὁ ἔνθεος, ὁ ἔνδοξος φημὶ Κοσμᾶς, ὁ διπλῷ καλλυνόμενος στέμματι.

Ἀγάλλματι παρθενίας ἔπαινος, ἅπας πρέπει τῇ παρθένῳ Κυράννη. Κυπριανῷ, τῷ ὁσίῳ καὶ πάνυ, τὸν Μαρτυρίου ἀνύσαντι διάϋλον· καὶ Ῥώσσῳ δὲ τῷ ἱερεῖ, Κωνσταντίνῳ πᾶς αἶνος ἐπάξιος.

Θεοτοκίον.

Θεόγλυπτος ἀνδριὰς πανάχραντε, καὶ εἰκὼν ἀρχέτυπίας τῆς θείας· καὶ θησαυρὸς, ἀνεξάντλητος θείων, ἀπαυγασμάτων ὑπάρχεις θεόνυμφε· σκοπὸς ὁ ἐπινοηθείς, πρὸ αἰώνων τῷ κτίστῃ τῆς κτίσεως.

Κοντάκιον, ἦχος, ά. Τὸν τάφον σου Σωτήρ.

Ἀγάλλου μυστικῶς, ἡ Χριστοῦ Ἐκκλησία, ὁρῶσα σοὺς υἱοὺς, Νεομάρτυρας κύκλῳ, τραπέζης σου καὶ ἑήματος, ἱσταμένους ἐν κόνεσιν, ὡς νεόφυτα, τῶν ἐλαιῶν καὶ τῷ κτίστῃ, ἀνακραύγαζε· σὺ τῶν Μαρτύρων ὑπάρχεις, Χριστὲ τὸ στερέωμα.

Ὁ Οἶκος.

Ἀεὶ μὲν, καὶ ἐν πᾶσιν ὀφείλομεν, ἀδελφοὶ, ἐξυμνεῖν καὶ θαυμάζειν τῆς περὶ ἡμᾶς τοῦ φιλανθρώπου Θεοῦ προνοίας τὰ ἀνεξιχνίαστα κρίματα, οὐχ ἧττον δὲ, καὶ ἐπὶ τῇ πολυχρονίῳ ταύτῃ τοῦ ἡμετέρου γένους τυραννικῇ αἰχμαλωσίᾳ· αὕτη καὶ γὰρ, πλείστων τε ἄλλων κατὰ ψυχὴν ἀγαθῶν ἡμῖν τοῖς τυραννουμένης παραίτιος γέγονε, καὶ ἐξαιρέτως, δι' αὐτῆς καὶ ἐξ αὐτῆς ὁ εὐκλεὴς οὗτος, καὶ Χριστῷ περιλημένος, καὶ τῆς οὐρανίου ἀποθήκης ἄξιος καρπὸς ἀνεβλάστησεν, οἱ νεοφανεῖς, λέγω μάρτυρες· οἱ νῦν εἰς εὐφημίαν προκείμενοι· οὗτοι γὰρ, οἱ καρτερόψυχοι, τῇ τοῦ Χριστοῦ δυνάμει θωρακισθέντες, πᾶντα τὰ τοῦ βίου τερπνὰ, ὡς σκύβαλα ἐλογίσαντο· καὶ σαρκὸς μηδόλως φεισάμενοι, εἰς τὸ στάδιον τῆς ἀθλήσεως ἀπεδύσαντο, τὴν μὲν τῶν ἀγαρηνῶν ἀσέβειαν θριαμβεύσαντες, τὴν δὲ τοῦ Χριστοῦ πίστιν, ἐν παῤῥησίᾳ ἀνακηρύξαντες· ὑπὲρ ἧς, καὶ πολυειδέσι βασάνοις ἀνδρείως, μέχρι τέλους ἐνεκαρτέρησαν, καὶ τὸν τοῦ μαρτυρίου ἀνεδύσαντο στέφανον, πρὸς τὸν στεφανίτην ἀναβοῶντες· σὺ τῶν μαρτύρων Χριστὲ τὸ στερέωμα·

Μνήμη πάντων τῶν Ἁγίων Νεοφανῶν τοῦ Χριστοῦ Μαρτύρων τῶν μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως μαρτυρησάντων.

Νέοι ἀθληταὶ, ὤλεσαν τὴν γραῦν Ἄγαρ. Καὶ νῦν σύνεισι τοῖς ἀθληταῖς τοῖς πάλαι. Βῆ δὲ Πόλον πληθὺς, νεάθλων ἄστυ θεοῖο.

Ὠδὴ, ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐν ὠδαῖς τε καὶ ὕμνοις, τὸν ὁσιομάρτυρα αἰνῶ Μακάριον· Μακάριον τε Κῖον, καὶ Μάρκον τὸν ἐκ Κρήτης, σὺν αὐτῷ δὲ καὶ Μύρωνα, τῆς αὐτῆς νήσου λαμπρὸν ἀναφανέντα κλέος.

Μανουὴλ τῷ ἐκ Κρήτης σὺν τῷ Μιχαὴλ Ἀθηνῶν τῷ βλαστήματι, καὶ Μιχαὴλ δὲ πάλιν, τῷ ἐκ Γρανίτζης ὄντι, ἀναπέμψωμεν αἴνεσιν, ὡς τὴν Τριάδα λαμπρῶς τεθεολογηκότι.

Μιχαὴλ ἐκ Βρυούλων, ὁ λευκόχρους Κύκνος αἰσίως γεραίρεται, Νισύριος Νικήτας· Νικόδημος δὲ πάλιν, ὁ ἐν Μάρτυσιν ὅσιος, ὁ τῇ μονῇ ἐνασκῶν τῇ ἐν τοῖς μετεώροις,

Θεοτοκίον.

Ὅλη καλὴ ὑπάρχεις, ὅλη γλυκασμὸς καὶ ἡδύτης ἀκόρεστος, Μαρία Θεοτόκε· διὸ

ὁ τῇ θεωρίᾳ τοῦ σοῦ κάλλους ἀξίωσον, ἐπεντρυφᾶν με ἀεὶ τὸν σὸν οἰκτρὸν οἰκέτην.

Ὠδὴ, ἡ. Ἑπταπλασίως κάμινον.

Τίς οὐ προσοίσει ἔπαινον, Νικοδήμῳ τῷ Μάρτυρι, καὶ ἀνδρὶ ὁσίῳ, χερσὶ ῥάβδον φέροντι; καὶ θείῳ θλαστήματι, Καππαδοκείας αὖθίς τε, τῷ ὑπὲρ Χριστοῦ, διηθληκότι ἐν Σμύρνῃ, γενναίῳ Νικολάῳ; Νικολάῳ τε ἄλλῳ, τῷ ἴλκοντι τὸ γένος ἐκ κώμης τοῦ Μετζόβου.

Καρπεννησίου θλάστημα, εὐφημείσθω Νικόλαος, ὁ ἐν Βυζαντίῳ διαθλήσας ἄριστα· μεθ' οὗ καὶ Νικόλαος, τὸ Βυζαντίδος γέννημα· θείαις ἐν ᾠδαῖς, μεγαλυνέσθω δικαίως· Νικόλαος δὲ αὖθις τὸ μέγα Χίου κλέος, ὡς ἐξ αὐτῆς θλαστήσας, καὶ ἐν αὐτῇ ἀθλήσας.

Τὸν Κωνσταντινουπόλεως, μεγαλύνῳ Παρθένιον, τὸν τῆς Μιτυλήνης, κλάδον ὡραιότατον· μεθ' οὗ ἀπελεύθερον, Ἠαῦλον τὸν Ῥῶσσον ἅσμασιν ἱεροῖς τιμῶ· καὶ τὸν Παχώμιον ἅμα, τὸν ὅσιον γεραίρω· σὺν αὐτῷ δὲ τὸν θεῖον ὑμνῶ Παναγιώτην τὸν ἐκ τῆς Καισαρείας.

Θεοτοκίον.

Φῶς ἡ τὸ πρῶτον τέξασα, τὸ Ἀγγέλους τὰ δεύτερα, φῶτα ὑποστῆξαν, καὶ φῶς τὸ πρωτόγονον· δημιουργῆσαν αὖθίς τε, φωστῆρας δύω παραγαγόν· ἐπὶ πᾶσι δὲ ψυχὴν ὡς φῶς οὐσιῶσαν, καὶ φῶτα ὑποδείξαν, προστάγματα οἰκεῖα, φώτισον τοῦ νοός μου τὸν ζόφον Θεοτόκε.

Ὠδὴ, θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Λαμπρύνει Νεομάρτυρας ὡς ἀστὴρ, φαεινὸς ὁ ἐκ Κύπρου Πολύδωρος, καὶ Ῥωμανὸς, ὁ ὁσιομάρτυς κατακοσμεῖ, χορὸν τὸν νεοσύλλεκτον, ἀθλητῶν Κυρίου καὶ Ῥωμανὸς, ὁ ἱερεὺς καὶ Μάρτυς, διπλοῦν λαμβάνει στέφος, παρὰ Θεοῦ τοῦ παντοκράτορος.

Συγχαίρει νομάρτυσι τοῦ Χριστοῦ, ὁ στερρότατος Σάββας, Νιγδέλιος καὶ Σεραφείμ, ὁ τοῦ φαναρίου Ἀρχιερεὺς, αὐτοῖς δὲ συναγάλλεται καὶ ὁ Τραπεζούντιος Συμεὼν μεθ' ὧν ἀεὶ χορεύει, Σταμάτιος ὁ θεῖος, ὁ ἐκ τοῦ Βόλου καταγόμενος.

Μαρτύρων νέων ηὔξησαν ἀριθμὸν, Τριανταφύλλος ναύτης καὶ εὔχρηστος, Χριστῷ δειχθείς, Χρῆστος παραδείσου ὁ κηπουρὸς, τὸ Ἀλβανίας καύχημα· καὶ Χριστοῦ ὁ δοῦλος ὡς ἀληθῶς, Χριστόδουλος ὁ νέος, Χρυσῆ τε ἡ παρθένος τὸ Βουλγαρίας ἐγκαλώπισμα.

Χορεία νεοσύλλεκτε ἀθλητῶν· οὐρανία σειρὰ χρυσοσύνθετε πολυειδὴς, στέφανε ἀνθόπλεκτε ἱερὲ, τὸν ὕμνον τοῦτον δέξασθε, καὶ συναγαγόντες ἀδελφικῶς, τοὺς ἀνωνύμους ἄλλους, πάντες Χριστῷ πρεσβείαν, ὑπὲρ ἡμῶν ἀεὶ προσφέρεται,

Θεοτοκίον.

Παράλαβε Παρθένε τοῦ σοῦ Υἱοῦ, ἱεροὺς Νεομάρτυρας ἅπαντας· τοὺς ἐνταυθοῖ περιερχομένους ὀνομαστί, καὶ εἴ τινες ἐνώνυμοι, ἄλλοι καὶ ἀνώνυμοι ἀλλαχοῦ· καὶ πρέσβευε σὺν τούτοις ὅπως πυρὸς ῥυθέντες, τῆς θείας δόξης ἐπιτύχωμεν.

Ἐξαποστειλάριον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Λαβόντες θεῖον βάπτισμα, τὸ δι' ὕδατος πρώην, σύμφυτοι ὁμοιώματι, τοῦ θανάτου Κυρίου· γεγόνατε νῦν δὲ πάλιν, βαπτισθέντες ἀνδρείως, τὸ δι' αἵματος Βάπτισμα, Νεομάρτυρες θεῖοι, πραγματικῶς, τούτου ὡμοιώθητε τῷ θανάτῳ· δι' ὃ καὶ ἠξιώθητε, δόξης τῆς ἀθανάτου.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε,

Χορείαν Νεοσύλλεκτον, γενναιότατον σύνταγμα, Νεομαρτύρων Κυρίου, ἀνευφημήσωμεν ὕμνοις, Φιλομαρτύρων Σύστημα, πρὸς αὐτοὺς ἀνακράζοντες, ἀπὸ παντοίας ῥύσασθε, ἡμᾶς ἀνάγκης καὶ βλάβης, τοῦ βροτοκτόνου βελίαρ.

Θεοτοκίον.

Μαρία ὁ Χρυσόπλοκος, τῆς Θεότητος θάλαμος, εὐγένεια βροτῶν γένους· ἡ κοσμήσασα Κόσμου, τὴν ἀκοσμίαν κόσμησον, τῆς ψυχῆς μου τὸ ἄκοσμον, τῆς ἐκ πόθου καὶ πίστεως, κοσμούσης σε ἐν εὐκόσμοις, ὑμνολογίαις Παρθένε.

Εἰς τοὺς αἴνους, ἰσῶμεν στίχ. δ'. ἦχος, δ'.

Ὅτε ἐκ τοῦ ξύλου σε.

Δεῦτε τοῦ Χριστοῦ ὁ μελισσών. Δεῦτε Φιλομάρτυρες πᾶντες, νῦν ἑορτάσωμεν, τὴν κοινὴν πανήγυριν Νεομαρτύρων Χριστοῦ· οὗτοι γὰρ ἀνεδείχθησαν, ὑστέροις ἐν χρόνοις, δόξα καὶ στερέωμα τῆς ἡμῶν πίστεως· γένους ἡμετέρου προστάται· πάντων ἀσθενῶν ἰατῆρες, καὶ τῶν θλιβομένων παρακλήτορες.

Δεῦτε τῶν Ἀγγέλων στρατιαί. Δεῦτε ἀσωμάτων χορεῖαι, συνεορτάσατε, καὶ τοὺς Νεομάρτυρας νῦν συμπροπέμψατε, ἀπὸ γῆς εἰς οὐράνια· καὶ γὰρ οὗτοι πᾶντες, σῶμα θνητὸν φέροντες ὥσπερ ἀσώματοι, ἠθλησαν καὶ ἔδειξαν ἔργῳ, μόνοις τοῖς ὀνόμασιν ὅτι, Ἄγγελοι καὶ Μάρτυρες διίστανται.

Δεῦτε τῶν Μαρτύρων ἡ πληθύς, δεῦτε προχυθέντες ἐκ Πόλου, νῦν κατασπάσασθε, ἄλλος ἄλλον Μάρτυρα καὶ πᾶντες ἕκαστον, συνωνύμους συνώνυμοι, παλαιοὶ τοὺς νέους, τοὺς ὁμοίους ὅμοιοι καὶ παραλάβετε, τούτους εἰς μονὰς ἡμῶν θείας, ἵνα συνευφραίνησθε ἅμα, ἐν ἀῤῥήτῳ δόξῃ καὶ λαμπρότητι.

Δέχου ὦ Τριὰς προσκυνητή· δέχου ὦ θεάνθρωπε λόγε, τοὺς Νεομάρτυρας, τούτους οὓς προσάγει σοι γένος αἱχμάλωτον, ὥσπερ θύματα τέλεια· ὡς εὔοσμα ῥόδα, ἀρωματοσύνθετα, ὡς θυμιάματα. Μῦρα πολυτίμητα ὥσπερ· καὶ ἐλευθερίαν ἀντίδος, καὶ πταισμάτων πάντων τὴν συγχώρησιν.

Δόξα, ἦχος, πλ. ά.

Ὡ νέα παρεμβολὴ Χριστοῦ τεῦ Θεοῦ, ἣν ὁ Ἰακὼβ προηνίξατο· ὦ νεοσύλλεκτος χορεία καὶ τρίπλοκος, ἡ ἐξ Ἱερομαρτύρων, Ὁσιομαρτύρων, καὶ Μαρτύρων συγκροτουμένη· τίς ἡμῶν τοὺς ἀθλητικοὺς ἀγῶνας κατ' ἀξίαν ἐγκωμιάσει; ὑμεῖς γὰρ ἄλλος κατ' ἄλλον χνόνον, καὶ ἐξ ἄλλου τόπου ὁρμώμενοι, πᾶντες κατὰ μιᾶς τῆς ἀγαρηνῶν ἀσεβείας ἠνδραγαθήσατε, καὶ ὑπὲρ μιᾶς θεοσεβείας πολυειδῆ ὑπέστητε κολαστήρια· ἡδονὴ καὶ θαῦμα τοῖς ὁμοφύλοις, λύπη καὶ κατάπληξις τοῖς ἀλλοφύλοις γενόμενοι· ὄντως τοῖς αἵμασιν ὑμῶν, τὸ αἷμα τοῦ Χριστοῦ ἐτιμήσατε· καὶ τοῖς πάθεσιν ὑμῶν, τὸ πάθος αὐτοῦ ἐσεμνύνατε· δι' ὃ, ὑπὲρ χιόνα ἐλάμψατε, ὑπὲρ γάλα ἐτυρώθητε, καὶ ὑπὲρ λίθον σάπφειρον τὸ σύνταγμα ὑμῶν. Καὶ νῦν ἐν οὐρανοῖς ἡνωμένοι ἀλλήλοις ὑπάρχοντες, πρεσβεύετε ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Μακαρίζομέν σε.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά. Καὶ εἰς τοὺς Μακαρισμοὺς τὴν γ'. καὶ ς'. Ὠδὴν τοῦ Κανόνος. Μετὰ τὸ τρισάγιον τὸν Ἀπόστολον. Τὸ Εὐαγγέλιον τῶν Ἁγίων Πάντων, ἢ τῶν Ἁγίων Τεσσαράκοντα Μαρτύρων. Κοινωνικὸν, εἰς Μνημόσυνον αἰώνιον.

Κατὰ τὸ ᾳωιθ'. Ἰουνίου ϛ'. 1819.

ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΕΞ ΑΓΑΡΗΝΩΝ.

Ἐναθλήσαντος ἐν Κυδωνίαις καὶ τελειωθέντος ἐν τῇ βασιλευούσῃ τῶν πόλεων.

Μαρτυρικὴν σήμερον ἑορτὴν ἀδελφοὶ, ἐπιτελεῖ γηθοσύνως ἡ τοῦ Χριστοῦ Ἐκκλησία. Μάρτυρος μνήμην αὖθις λέγω· χαίρουσα λίαν, καὶ ὑπερευφραινομένη, προβαλλομένη τὰ ὑπὲρ Χριστοῦ ἆθλα καὶ ὑπὲρ φύσιν ἀγῶνας οὓς ὑπὲρ τῆς ἀκραιφνοῦς ἡμῶν πίστεως ἐνεδείξατο· καὶ βεβαιοῦσα διὰ τῶν θαυμάτων ὧν ἐν τῷ μαρτυρίῳ αὐτοῦ ἐτελέσθησαν

μ' ὅλον ὑποῦ εἴωθεν ἐξ ἀρχῆς νὰ τιμᾷ τοὺς ὑπὲρ Χριστοῦ τὸ αἷμα αὐτοῦ ἐκχέοντας· μὴ κολὺ πραγμονοῦσα θαυμάτων σημεῖα καὶ τέρατα, ὡς προδήλως μαρτυρούσης τῆς ὑπὲρ Χριστοῦ αὐτῶν μέχρις αἵματος ἐναθλήσεως· τοῦτο γὰρ ἐπὶ τῶν ὁσίων καὶ Ἁγία πολιτεία διαπρεψάντων ζητεῖ διὰ τὸ ἀμφίβολον· ἀκούσατε τοίνυν ἄνωθεν τὴν ἀνατροφὴν αὐτοῦ πῶς ἐξ ἀκανθῶν ὡς ῥόδον εὔοσμον ἀνεφύει, καὶ τῷ τοῦ θείου λουτροῦ βαπτίσματι ἀνεγεννήθη· καὶ ὅσα ὑπερφυῶς πρὸ τοῦ μαρτυρίου καὶ ἐνταυτῷ τῷ τῆς ἀθλήσεως καιρῷ παραδόξως εἰς αὐτὸν ἐτελέσθησαν ἵνα πληροφορηθέντες, δοξάσητε τὸν ἀγωνοθέτην κύριον τὸν τοὺς Ἁγίους αὐτοῦ δοξάζοντας, οἰκείοις αὐτῶν μέλεσιν ἀντιδοξάσαντας τοὺς αὐτοὺς στεφανώσαντα.

